Inv 236
n 44

Cat. Inc. 33

[illegible]

118522609

8

BIBLIOTECA PROVINCIAL Y DE LA UNIVERSIDAD DE SEVILLA

Est. 33 tab. 13.

Iohannes placentinus Monachus Reuerēdo patri & domino. D. Ludouico Donato Episcopo Bergomensi. S. p. d.

Psalterii quod graece melos Dauid regis & prophetæ inscribitur hāc nouam emendationem tuis auspiciis consultissime antistes: quanuis dubium mihi non erat plerosque criminaturos uel saltem admiraturos. aggredi non dubitaui. Compertum nanque mihi est huius nostræ ætatis theologorum gregem isultaturum subsānaturumque tanquam qui ea quæ a diuo Hieronymo & ab septuaginta interpretibus lucubrata fuerint: attingere ausus sim. Sed mens mihi conscia recti horum leuis accusationes te patrono & uidice facillime contempserit: cuius candidissimum & nobilissimum pectus nullus liuor occupauit. Illos quoque si Augustini libros de doctrina christiana aliquando legissēt: mihi æquiores fore non dubitarē. Censet enim uir ille non theologiæ modo uerum & cæterarum artiū & græce & latine peritissimus: nostra exemplaria quæ ex græco fonte emanarint: non aliter ad unguē corrigi posse: nisi illorum inspectis prototypis. Audiant itaque theologi si qui me accusaturi sunt: quid Augustinus libro secūdo praedicti uoluminis praecipiat: si quid emendandū fuerit. Contra ignota inquit signa magnum remedium est linguarum cognitio. Et iccirco latinæ līguæ homines quos nunc erudiendos suscepimus: duabus aliis opus habent ad cognitionem scripturarum: hebræa & græca: ut ad exemplaria præcedentia recurratur: si quam ambiguitatem attulerit latinorū interpretum infinita uarietas. Diuus insuper Hieronymus nonne multos errores septuaginta interpretum culpa ob uerborum ambiguitatē admissos: ad sua tempora durasse queritur: & quia iam per uniuersum poene orbem ea exemplaria legebātur: uix aliter reperiri? Dicāt mihi theologi huius temporis quænam sit Hieronymi si norunt: interpretatio. Quid irrident? Nnone respondēt: est ea cui ipsius praepositas uides prefationes? Pace uestra o theologi dixisse uelim. Hieronymū ipsi negligentiæ aut imperitiæ accusatis. Non est præsul integerrime & eruditissime huius præfatiunculæ enumerare quot loca deprauata depraehenderim in utroque testamento: quorꝫ & si nonnulla librariorum uitio facta sint: multa sane sunt interpretum: quæ cum exemplaria quæ Hieronymi dicuntur inuaserint: quia defendi nequeunt: ego Hieronymi inficior. Quid ergo? Libere fateor nos nescire quae

sit Hieronymi interpretatio. Locus est in epistola Pauli ad hebraeos capite decimo. Hostiam & oblationem noluisti: corpus autem aptasti mihi. Idem est in psalmo tricesimo nono: sed non corpus: sed aures habent exemplaria latina quae Hieronymi dicuntur. psalteriũ uero quo Mediolanensis ecclesia utitur: corpus habet: nec non omnia graeca exemplaria quae ipse plurima uidi. Non est mihi consentaneum Hieronymum illũ non uidisse quae ego homuntio imperitus tam facile animaduerti. Nisi graecum anticimenon esset quo argui loca deprauata possunt: uererer criminatorum iacula. Quid si graeca deprauata essent? Omnia quotquot uidere potui conueniunt. Vnum dũtaxat locum psalmo centesimo primo ut inueni reliqui. Viduam eius latini ubi legunt: græci omnes θήραν. i. prædam. Exemplaria græca mutare ausus non sum: nec pro θήρα uiduam interpretari potui. Sed suspicor interpretes illusos: nam inter θήραν & χήραν. i. prædam & uiduam una tantum littera. i. θ. & . χ. discrimen facit. Cum ergo me inter duas symplegadas angi uiderem: elegi quod nec græci nec latini carperent. Qui itaque uiduam maluerint: in græco. χ. præponãt ubi ηραν inuenient. Qui prædam. θ. & in latino prædam ascribant Incredibile poene est quomodo in transferendis libris uerborum nimia similitudine: nonnunquã ambiguitate. interdum incuria interpretes fallantur. quod quidem non in hagiographis tantum: uerum etiam in poematis historiis & reliquis operibus. Rufus festus cũ Dionysii Alexãdrini periegesin trãsferret: Durateũ gẽs dixit: cũ Mosynũ dicendum esset. Si quis hac ĩ re mihi minus fidei habet: cosmographiæ peritos consulat: an sciant ubi terrarum sint duratei. Strabonis septimo. eteonon multarum tibiarum urbem quam ridicula interpretatio? Tibiarum pro collium dixit. ea enim urbs montuosa est: Sunt & innumera alia deprauata apud omnes poene latinos auctores item & sacros codices: quae si aliquando requiem studiis meis impetraro: quam tuis modo auspiciis spero: in animum emendare induxi Tibique talium studioso & qui omnia uirtuti & musis postponas dicare: qui & unus mihi uisus es dignus cui hanc nouam emendationem psalterii inscriberem: tanquam ueritatis scrutatori: & stomachanti ob religionis studium tot errores diuina uolumina inuasisse. quod autem ad psalterium attinet: quia longũ & molestum esset omnia emẽdata enumerare: ea depræhendere facile est: si cum aliis exemplaribus conferantur. Circiter septuaginta loca correximus græcam ueritatem secuti. Verba quæ deerant suis locis addidimus. Vnum te præ

cxxxi

ſul memorande ignorare nolo : pſalterium quod ambroſianum dicitur in paucis imo in nullis a græco diſcrepare. Cantica quæ ſex ſunt om nino græcis ſimilia. noſtris oīo diſſimilia. Propterea Hieronymi ea potius dicenda eſt tranſlatio : ut uir quidam fide non indignus mihi affirmauit. Quis enim mentis compos eum uirum qui ab ipſis incūa bulis inter grāmaticos & rhetoras educatus ſit : adeo ut nil tā acutum ſit quod non uiderit : non uidiſſe pſalmo xyiii. Si mei non fuerint do minati : quod ego dominata tranſtuli : nā ad delicta refertur : ſi quis diligenter ſeriem pſalmi cum ſenſu obſeruare uoluerit. Iohannis ulti mo capitulo. ābulabas ubi uolebas. Quæ ratio grāmatices id permit tit? At auguſtinus homilia quinta in epiſtolam Iohannis:quo uolebas dixit. Sane hac in re non minus Hieronymus Auguſtino aduertiſſet. quid de uerſiculo pſalmi octogeſimi & ſexti:quē trāſlatio quā Hiero nymi ferunt : Nunquid ſion dicet : exemplaria græca μήτηρ. i. mater legunt : & pſalterium mediolanenſis eccleſiæ mater ſion. quod ſi qui nec græcis nec ambroſianis codicibus credunt:legāt ſermonem Augu ſtini qui recitatur iuxta breuiaria curiæ romanae in ſolēnitate hypo pātes domini : uel ut uulgo dicitur purificationis uirginis:is. n. primæ lectionis matutinæ initio ait. Sic olim prædictum eſt mater ſion dicet Sed qui tranſtulit : uenia quidem dāda eſt μήτι. i. nūquid:non μήτηρ. i. mater uidere uiſus eſt : quod uel ipſi græcorum elementis imbuti in telligere poſſunt. Nec oīo audiendi imo acerrime refellendi ſunt theo logi q. ut illoꝝ uerbis utar dicunt ſcriptura ſancta non ē ſubiecta grā maticæ: Fateor. nam præeſt quia dignior:quippe quæ ex ſancto ſpiri tu eſt : qui ſcientiam habet uocis ut ait Solomon. Hoc non cenſuit Au guſtinus qui uult conſummatos theologos hebraida & hellenida dia lectos non ignorare. Grammatices tropos. ſchemata. rhetorices argu menta callere : qui & ipſe cū cæteris priſcis ueriſque theologis in ſuis operibus & diſertiſſimus in eloquentia. & ī ſententiis acutiſſimus. & in ratione loquendi inoffenſiſſimus eſt. Interdū tamen græcas conſtru ctiones in ſacris litteris quæ prius a græcis ſcriptæ ſunt inueniri:ut ua do piſcari. expugna nocentes me: & multa id genus:non inficior. Fecit hoc & maro noſter. ut in georgicon ſecūdo. Tēpus equi fumātia ſolue re colla. Latine ſane tempus ſoluendi dicendū eſt. Feci & ipſe in hoc pſalterio:ñ tamē ut graecis ſchematis uterer:ſed ut græce diſcere uolē tibus morē gererē uerbū uerbo reddidi. Quod ignorātes ad illud inep tiſſimum confugiūt. Scriptura non ē ſubiecta grāmatice. quibus reſpon deo:ñ ſua. Sed ut præſul præſtantiſſime dicendi finē faciā:ne forte pro lixitate diſpliceā:ubi addidimus quod deerat:uel emēdauimus quod deprauatū fuerat:errorū cauſas & rationes emendationis corā dnātio ni tuæ edemus. Alii facile ſi cū ueteri translatione conferre noſtrā uo luerint:omnia deprachendere poterunt.

## ΔΑΥΙΔ ΠΡΟΦΗΤΟΥ ΚΑΙ ΒΑΣΙΛΕΩΣ ΜΕΛΟΣ.

μ Ακάριος ἀνὴρ ὃς οὐκ ἐπορεύθη ἐν βουλῇ ἀσεβῶν καὶ ἐν ὁδῷ ἁμαρτωλῶν οὐκ ἔστη. καὶ ἐπὶ καθέδραν λοιμῶν οὐκ ἐκάθισεν.

Ἀλλ' ἢ ἐν τῷ νόμῳ κυρίου τὸ θέλημα αὐτοῦ. καὶ ἐν τῷ νόμῳ αὐτοῦ μελετήσει ἡμέρας καὶ νυκτός.

Καὶ ἔσται ὡς τὸ ξύλον τὸ πεφυτευμένον παρὰ τὰς διεξόδους τῶν ὑδάτων. ὃ τὸν καρπὸν αὐτοῦ δώσει ἐν καιρῷ αὐτοῦ.

Καὶ τὸ φύλλον αὐτοῦ οὐκ ἀπορρυήσεται. καὶ πάντα ὅσα ἂν ποιῇ κατευοδωθήσεται.

Οὐχ οὕτως οἱ ἀσεβεῖς οὐχ οὕτως ἀλλ' ἢ ὡσεὶ χνοῦς ὃν ἐκρίπτει ὁ ἄνεμος ἀπὸ προσώπου τῆς γῆς.

Διὰ τοῦτο οὐκ ἀναστήσονται οἱ ἀσεβεῖς ἐν κρίσει. οὐδὲ ἁμαρτωλοὶ ἐν βουλῇ δικαίων.

Ὅτι γινώσκει κύριος ὁδὸν δι-

## DAVID PROPHETAE ET REGIS MELOS.

b Eatus uir qui non abiit in consilio impiorum & in uia peccatorum non stetit. & in cathedra pestilentiæ non sedit.

Sed in lege domini uoluntas eius. & in lege eius meditabitur die ac nocte.

Et erit tanquam lignum plantatum secus decursus aquarum. quod fructum suum dabit in tempore suo.

Et folium eius non defluet & omnia quæcunque faciet prosperabuntur.

Non sic impii non sic. sed tanquam puluis quem proiicit uentus a facie terræ.

Ideo non resurgent impii in iudicio neque peccatores in consilio iustorum.

Quoniā nouit dominus uiā iusto-

καίων. καὶ ὁδὸς ἀσεβῶν ἀ-
πολεῖται.

2 ἀνεπίγραφος παρ' ἑβραίοις

Ἱνατί ἐφρύαξαν ἔθνη, καὶ λα-
οὶ ἐμελέτησαν κενά.

Παρέστησαν οἱ βασιλεῖς τῆς
γῆς. καὶ οἱ ἄρχοντες συνήχθη-
σαν ἐπὶ τὸ αὐτό. κατὰ τοῦ κυ-
ρίου. καὶ κατὰ τοῦ χριστοῦ αὐ-
τοῦ.

Διαρρήξωμεν τοὺς δεσμοὺς
αὐτῶν. καὶ ἀπορρίψωμεν ἀ-
φ' ἡμῶν τὸν ζυγὸν αὐτῶν.

Ὁ κατοικῶν ἐν οὐρανοῖς ἐκγελά-
σεται αὐτούς. καὶ ὁ κύριος
ἐκμυκτηριεῖ αὐτούς.

Τότε λαλήσει πρὸς αὐτοὺς
ἐν ὀργῇ αὐτοῦ. καὶ ἐν τῷ θυ-
μῷ αὐτοῦ ταράξει αὐτούς.

Ἐγὼ δὲ κατεστάθην βασιλεὺς
ὑπ' αὐτοῦ ἐπὶ σιὼν ὄρος τὸ
ἅγιον αὐτοῦ. διαγγέλλων τὸ
πρόσταγμα κυρίου.

Κύριος εἶπε πρός με υἱός μου
εἶ σύ. ἐγὼ σήμερον γεγέννηκά
σε.

Αἴτησαι παρ' ἐμοῦ καὶ δώσω
σοι ἔθνη τὴν κληρονομίαν σου.
καὶ τὴν κατάσχεσίν σου τὰ
πέρατα τῆς γῆς.

orum & uia impiorum
peribit.

sine titulo apud hebræos

q uare fremuerunt gentes & po-
puli meditati sunt inania.

Astiterunt reges
terræ. & principes conuene-
runt pariter contra do-
minum & contra christum
eius.

Dirumpamus uincula
eorum: & proiiciamus a
nobis iugum eorum

Qui habitat in cælis irride
bit eos. & dominus
subsannabit eos.

Tunc loquetur ad eos
in ira eius. & in furo
re eius conturbabit eos.

Ego autem constitutus sum rex
ab eo super Sion montem
sanctum eius annuntians
præceptum eius.

Dominus dixit ad me filius meus
es tu. ego hodie genui
te.

Postula a me & dabo
tibi gentes hæreditatem tui.
& possessionem tui
terminos terræ.

Ποιμανεῖς αὐτοὺς ἐν ῥάβδῳ σι-
δηρᾷ. ὡς σκεύη κεραμέως
συντρίψεις αὐτούς.
Καὶ νῦν βασιλεῖς συνίετε. παι-
δεύθητε πάντες οἱ κρίνοντες
τὴν γῆν.
Δουλεύσατε τῷ κυρίῳ ἐν φόβῳ
καὶ ἀγαλλιᾶσθε αὐτῷ ἐν τρόμῳ.
Δράξασθε παιδείας μήποτε ὀρ-
γισθῇ κύριος. καὶ ἀπολεῖσθε
ἐξ ὁδοῦ δικαίας.
Ὅταν ἐκκαυθῇ ἐν τάχει ὁ θυμὸς
αὐτοῦ, μακάριοι πάντες οἱ
πεποιθότες ἐπ' αὐτόν.

Ψαλμὸς τῷ Δαυὶδ ὁπότε ἀ-
πεδίδρασκεν ἀπὸ προσώπου
Ἀβεσαλὼμ τοῦ υἱοῦ αὐτοῦ.

κ ύριε τί ἐπληθύνθησαν οἱ
θλίβοντές με. πολλοὶ ἐπα-
νίστανται ἐπ' ἐμέ.
Πολλοὶ λέγουσι τῇ ψυχῇ μου.
οὐκ ἔστι σωτηρία αὐτῷ ἐν τῷ
θεῷ αὐτοῦ.
Σὺ δὲ κύριε ἀντιλήπτωρ μου
εἶ. δόξα μου καὶ ὑψῶν τὴν κε-
φαλήν μου.
Φωνῇ μου πρὸς κύριον ἐκέκρα-
ξα. καὶ ἐπήκουσέ μου ἐξ ὄ-
ρους ἁγίου αὐτοῦ.
Ἐγὼ ἐκοιμήθην καὶ ὕπνωσα. ἐξ-

Reges eos in uirga fer-
rea. tanquam uasa figuli
confringes eos.
Et nunc reges intelligite. erudi
mini omnes iudicantes
terram.
Seruite domino in timore.
& exultate ei in tremore.
Apprehēdite disciplinā ne quādo
irascatur dominus & pereatis
ex uia iusta
Cum exarserit in breui ira
eius. beati omnes
confisi in eū.

Psalmus dauid quando fugie-
bat a facie
Abessalom filii eius.

d omine quid multiplicati sūt tri
bulantes me. multi insur
gunt aduersum me.
Multi dicunt animæ meæ.
non est salus ei in
deo eius.
Tu autem domine susceptor meus
es. gloria mea & exaltans ca
put meum.
Voce mea ad dominum clama
ui & exaudiuit me de mon
te sancto eius.
Ego dormiui & obdormiui. ex

ἠγέρθην ὅτι κύριος ἀντιλήψε-
ται μου.
Οὐ φοβηθήσομαι ἀπὸ μυριά-
δων λαοῦ τῶν κύκλῳ συνεπι-
τιθεμένων μοι. ἀνάστα κύριε
σῶσόν με ὁ θεός.
Ὅτι σὺ ἐπάταξας πάντας τοὺς
ἐχθραίνοντάς μοι ματαίως.
ὀδόντας ἁμαρτωλῶν συνέ-
τριψας. Τοῦ κυρίου ἡ σωτηρία.
καὶ ἐπὶ τὸν λαόν σου ἡ εὐλογία
σου. εἰς τὸ τέλος ἐν ὕ-
4 μνοις ψαλμὸς τῷ δαυίδ.
Ἐν τῷ ἐπικαλεῖσθαί με εἰσή-
κουσέ μου ὁ θεὸς τῆς δικαιο-
σύνης μου. ἐν θλίψει ἐπλάτυ-
νάς μοι.
Οἰκτείρησόν μου. καὶ εἰσάκου-
σον τῆς προσευχῆς μου.
Υἱοὶ ἀνθρώπων ἕως πότε βα-
ρυκάρδιοι. ἵνα τί ἀγαπᾶτε
ματαιότητα καὶ ζητεῖτε
ψεῦδος.
Καὶ γνῶτε ὅτι ἐθαυμάστωσε κύ-
ριος τὸν ὅσιον αὐτοῦ. κύριος
εἰσακούσεταί μου ἐν τῷ κε-
κραγέναι με πρὸς αὐτόν.
Ὀργίζεσθε καὶ μὴ ἁμαρτάνε-
τε. ἃ λέγετε ἐν ταῖς καρδί-
αις ὑμῶν. ἐπὶ ταῖς κοίταις
ὑμῶν κατανύγητε.

urrexi quia dominus susci-
piet me.
Non timebo a mili-
bus populi circum irruenti-
bus mihi. exurge domine
salua me deus.
Quoniam tu percussisti omnes
aduersantes mihi frustra.
dentes peccatorum contri-
uisti. Domini salus.
& super populū tuum benedictio
tua. In finem in hy-
mnis psalmus dauid.
In inuocando me exaudi-
uit me deus iusti-
ciæ mei. in tribulatione dilata-
sti mihi.
Miserere mei. & exau-
di orationem mei.
Filii hominum usq; quo gra-
ui corde: ut quid diligitis
uanitatem: & quæritis
mendacium.
Et scitote quoniam mirificauit do-
minus sanctum suum. dominus
exaudiet me. in cla-
mare me ad eum.
Irascimini & non pecca-
te. quæ dicitis in cordi-
bus uestrum. in cubilibus
uestrum compungimini.

θύσατε θυσίαν δικαιοσύνης,
καὶ ἐλπίσατε ἐπὶ κύριον. πολ
λοὶ λέγουσι τίς δείξει ἡμῖν τὰ
ἀγαθά.
Ἐσημειώθη ἐφ' ἡμᾶς τὸ φῶς
τοῦ προσώπου σου κύριε. ἔδω
κας εὐφροσύνην εἰς τὴν καρ-
δίαν μου.
Ἀπὸ καρποῦ σίτου οἴνου καὶ ἐ-
λαίου αὐτῶν. ἐπληθύνθησαν
ἐν εἰρήνῃ ἐπὶ τὸ αὐτό. κοιμη-
θήσομαι, καὶ ὑπνώσω.
Ὅτι σὺ κύριε κατὰ μόνας ἐπ' ἐλ-
πίδι κατῴκισάς με.

Ψαλμὸς τῷ δαυὶδ εἰς τὸ
τέλος ὑπὲρ τῆς κληρονομούσης.

Τ    ὰ ῥήματά μου ἐνώτισαι
     κύριε. σύνες τῆς
κραυγῆς μου,
Πρόσχες τῇ φωνῇ τῆς δεήσε
ώς μου. ὁ βασιλεύς μου, καὶ ὁ
θεός μου.
Ὅτι πρὸς σὲ προσεύξομαι κύ-
ριε. τὸ πρωῒ εἰσακούσῃ τῆς
φωνῆς μου.
Τὸ πρωῒ παραστήσομαί σοι, καὶ
ἐπόψει με. ὅτι οὐχὶ θεὸς θέ

Sacrificate sacrificium iusticiæ
& sperate in dominum. mul-
ti dicunt quis ostendet nobis
bona.
Signatum est super nos lumen
uultus tui domine. dedi-
sti læticiam in
cor mei.
A fructu frumenti uini &
olei eorum. multiplicati sunt
In pace in id ipsum. dor-
miam & requiescam.
Quoniã tu domine singulariter ĩ
spe constituisti me.

Psalmus dauid in
finem pro hærede.

u    erba mea exaudi
     domine. intellige
clamoris mei.
Attende uoci oratio
nis mei. rex mei &
deus mei.
Quoniam ad te orabo do
mine mane exaudies
uocis mei.
Mane astabo tibi &
uidebis me. quoniam non deus uo

λων τὴν ἀνομίαν σὺ εἶ.
Οὐ παροικήσει σοι πονηρευόμε
νος. οὐδὲ διαμενοῦσι παράνο
μοι κατέναντι τῶν ὀφθαλ
μῶν σου.
Ἐμίσησας πάντας τοὺς ἐργαζο
μένους τὴν ἀνομίαν. ἀπο
λεῖς πάντας τοὺς λαλοῦν
τας τὸ ψεῦδος.
Ἄνδρα αἱμάτων καὶ δόλιον
βδελύσσεται κύριος. ἐγὼ δὲ
ἐν τῷ πλήθει τοῦ ἐλέους σου.
εἰσελεύσομαι εἰς τὸν οἶκον σου.
προσκυνήσω πρὸς ναὸν ἅγιον
σου ἐν φόβῳ σου.
Κύριε ὁδήγησόν με ἐν τῇ δι-
καιοσύνῃ σου. ἕνεκα τῶν ἐχ-
θρῶν μου κατεύθυνον ἐνώπι-
όν σου τὴν ὁδόν μου.
Ὅτι οὐκ ἔστιν ἐν τῷ στόματι αὐ-
τῶν ἀλήθεια. ἡ καρδία αὐτῶν
ματαία.
Τάφος ἀνεῳγμένος ὁ λάρυγξ
αὐτῶν. ταῖς γλώσσαις αὐτῶν
ἐδολιοῦσαν. κρῖνον αὐτοὺς ὁ
θεός.
Ἀποπεσέτωσαν ἀπὸ τῶν δια
βουλίων αὐτῶν. κατὰ τὸ πλῆ
θος τῶν ἀσεβειῶν αὐτῶν ἔξωσον

lens iniquitatem tu es.
Non adhabitabit tibi mali-
gnus. neque permanebunt ini-
qui ante ocu-
los tuos.
Odiſti omnes operan-
tes iniquitatem. per-
des omnes loquen-
tes mendacium.
Virum ſanguinum & doloſum
abominatur dominus. ego autem
in multitudine miſericordiæ tui
Introibo in domum tui
adorabo ad templum ſanctum
tui in timore tui.
Domine deduc me in iuſti-
cia tui. propter inimi-
cos mei dirige co-
ram te uiam mei.
Quoniam non eſt in ore eo-
rum ueritas. cor eorum
uanum.
Sepulchrum patens guttur
eorum. linguis eorum
doloſe agebant. iudica eos
deus.
Decidant a cogitatio-
nibus eoꝝ. ſecundũ multitudinẽ
impietatum eorum expelle

αὐτοὺς ὅτι παρεπίκραναν σε
κύριε.
Καὶ εὐφρανθήτωσαν πάντες
οἱ ἐλπίζοντες ἐπὶ σοί. εἰς αἰῶ-
να ἀγαλλιάσονται καὶ κατασκη
νώσεις ἐν αὐτοῖς.
Καὶ καυχήσονται ἐν σοὶ οἱ ἀγα
πῶντες τὸ ὄνομά σου. ὅτι σὺ
εὐλογήσεις δίκαιον κύριε.
ὡς ὅπλῳ εὐδοκίας ἐστεφάνω
σας ἡμᾶς.

εἰς τὸ τέλος ἐν ὕμνοις ὑπὲρ
τῆς ὀγδόης
Ψαλμὸς τῷ δαυίδ. ϛ.

κ ύριε μὴ τῷ θυμῷ σου
ἐλέγξῃς με. μηδὲ τῇ ὀρ
γῇ σου παιδεύσῃς με.
ἐλέησόν με κύριε ὅτι ἀσθενής
εἰμι. ἴασαί με κύριε ὅτι ἐταρά
χθη τὰ ὀστᾶ μου.
Καὶ ἡ ψυχή μου ἐταράχθη σφό-
δρα. Καὶ σὺ κύριε ἕως πότε
ἐπίστρεψον κύριε ῥῦσαι τὴν
ψυχήν μου.
σῶσόν με ἕνεκεν τοῦ ἐλέους
σου. ὅτι οὐκ ἔστιν ἐν τῷ θανά-
τῳ ὁ μνημονεύων σου. ἐν δὲ

eos quoniam irritauerūt te
domine.
Et lætentur omnes
ſperantes in te. in æter-
num exultabunt: et habita
bis in eis.
Et gloriabuntur in te dili-
gentes nomen tuū. quoniam tu
benedices iuſtum domine.
Vt ſcuto beneplaciti corona-
ſti nos.

In finem in hymnis
pro octaua
Pſalmus dauid. Vi.

d omine ne furore tuo
arguas me. neq; ira
tua corripias me.
Miſerare me dōe quoniā īfirmus
ſū. ſana me domine: quoniam
conturbata ſunt oſſa mei.
Et anima mei turbata eſt ual-
de. & tu domine uſquequo.
Conuerte domine eripe
animam mei.
Salua me propter miſericordiam
tui: quoniam non eſt in mor-
te recordans tui. in autem

τῷ ᾅδῃ τίς ἐξομολογήσεταί σοι.

inferno quis confitebitur tibi.

ἐκοπίασα ἐν τῷ στεναγμῷ μου λούσω καθ᾽ ἑκάστην νύκτα τὴν κλίνην μου. ἐν δάκρυσί μου τὴν στρωμνήν μου βρέξω.

Laboraui in gemitu mei. lauabo per singulam noctem lectum mei: in lachrymis mei stratum mei rigabo.

ἐταράχθη ἀπὸ θυμοῦ ὁ ὀφθαλμός μου. ἐπαλαιώθην ἐν πᾶσι τοῖς ἐχθροῖς μου.

Turbatus est a furore oculus mei. inueteraui inter omnes inimicos mei.

ἀπόστητε ἀπ᾽ ἐμοῦ πάντες οἱ ἐργαζόμενοι τὴν ἀνομίαν. ὅτι εἰσήκουσε κύριος τῆς φωνῆς τοῦ κλαυθμοῦ μου.

Discedite a me omnes operantes iniquitatem: quoniam exaudiuit dominus uocem fletus mei.

ἤκουσε κύριος τῆς δεήσεώς μου, κύριος τὴν προσευχήν μου προσεδέξατο.

Audiuit dominus deprecationẽ mei. dominus orationem mei suscepit.

αἰσχυνθείησαν καὶ ταραχθείησαν πάντες οἱ ἐχθροί μου. ἀποστραφείησαν, καὶ καταισχυνθείησαν σφόδρα διὰ τάχους.

Erubescant. & conturbentur omnes inimici mei. conuertantur. & erubescant ualde velociter.

ψαλμὸς τῷ δαυίδ, ὃν ᾖσε τῷ κυρίῳ ὑπὲρ τῶν λόγων χουσὶ υἱοῦ. ζ.

Psalmus dauid quem dixit domino pro sermonibus chusi filii. VII.

κ ύριε ὁ θεός μου ἐπὶ σοὶ ἤλπισα, σῶσόν με ἐκ

d omine deus mei in te speraui salua me ex

πάντων τῶν διω-
κόντων με, καὶ ῥῦσαί με.
Μήποτε ἁρπάσῃ ὡς λέων τὴν
ψυχήν μου. μὴ ὄντος λυτρου-
μένου, μηδὲ σώζοντος.
Κύριε ὁ θεός μου εἰ ἐποίησα
τοῦτο. εἰ ἔστιν ἀδικία ἐν χερσί
μου.
εἰ ἀνταπέδωκα τοῖς ἀνταπο-
διδοῦσί μοι κακά. ἀποπέσοι-
μι ἄρα ἀπὸ τῶν ἐχθρῶν μου
κενός.
Καὶ καταδιώξαι ἄρα ὁ ἐχθρὸς
τὴν ψυχήν μου, καὶ καταλά-
βοι. Καὶ καταπατήσαι εἰς γῆν
τὴν ζωήν μου. καὶ τὴν δό-
ξαν μου εἰς χοῦν κατασκηνώ-
σαι.
Ἀνάστηθι κύριε ἐν ὀργῇ σου. ὑψώ-
θητι ἐν τοῖς πέρασι τῶν ἐχ-
θρῶν μου.
Καὶ ἐξεγέρθητι κύριος ὁ θεὸς
μου ἐν προστάγματι ᾧ ἐνετεί-
λω. καὶ συναγωγὴ λαῶν κυκλώ-
σει σε.
Καὶ ὑπὲρ ταύτης εἰς ὕψος ἐ-
πίστρεψον. κύριος κρινεῖ λαούς.
Κρῖνόν μοι κύριε κατὰ τὴν δι-
καιοσύνην μου. καὶ κατὰ τὴν

omnibus perse
quentibus me. et libera me.
Ne quando rapiat ut leo
animam mei: non ente redi
mente: neque saluante.
Domine deus mei si feci
hoc. si est iniquitas in manibus
mei.
Si reddidi retribuenti-
bus mihi mala. deci-
dam certe ab inimicis mei
inanis.
Et persequatur utique inimicus
animam mei. & compræhen-
dat. & conculcet in terram
uitam meam: et glo
riam mei in puluerem de-
ducat.
Exurge domine in ira tua. exal-
tare in finibus inimi-
corum mei.
Et exurge domine deus
mei in præcepto quo man-
dasti. et concilium populorum cir-
cundabit te.
Et propter hoc in altum conuer-
te. dominus iudicabit populos.
Iudica me domine secundum iusti-
ciam mei. & secũdum

ἀκακίαν μου ἐπ' ἐμοί.
Συντελεσθήτω δὴ πονηρία ἁ-
μαρτωλῶν καὶ κατευθυνεῖς
δίκαιον. ἐτάζων καρδίας καὶ
νεφροὺς ὁ θεὸς δίκαιος.
Ἡ βοήθειά μου παρὰ τοῦ θεοῦ
τοῦ σῴζοντος τοὺς εὐθεῖς τῇ
καρδίᾳ.
Ὁ θεὸς κριτὴς δίκαιος, καὶ ἰσχυ-
ρὸς, καὶ μακρόθυμος. καὶ μὴ
ὀργὴν ἐπάγων καθ' ἑκάστην
ἡμέραν.
Ἐὰν μὴ ἐπιστραφῆτε, τὴν ῥομ-
φαίαν αὐτοῦ στιλβώσει. τὸ τό-
ξον αὐτοῦ ἐνέτεινε καὶ ἡτοί-
μασεν αὐτό.
Καὶ ἐν αὐτῷ ἡτοίμασε σκεύη
θανάτου. τὰ βέλη αὐτοῦ
τοῖς καιομένοις ἐξειργάσατο.
Ἰδοὺ ὠδίνησεν ἀδικίαν, συνέ-
λαβε πόνον, καὶ ἔτεκεν ἀνο-
μίαν.
Λάκκον ὤρυξε καὶ ἀνέσκαψεν
αὐτόν. καὶ ἐμπεσεῖται εἰς βό-
θρον, ὃν εἰργάσατο.
Ἐπιστρέψει ὁ πόνος αὐτοῦ εἰς
κεφαλὴν αὐτοῦ. καὶ ἐπὶ κορυ-
φὴν αὐτοῦ ἡ ἀδικία αὐτοῦ κα-
ταβήσεται.

innocentiam mei super me.
Consummetur utique nequitia pec
catorum; et diriges
iustum. scrutans corda: &
renes deus iuste.
Auxilium mei a deo
saluante rectos
corde.
Deus iudex iustus & for-
tis & longanimis. & non
iram inducens per singulum
diem.
Si non conuersi fueritis gladi-
um eius uibrabitur-
cum eius intendit. & para-
uit eum.
Et in eo parauit uasa
mortis. sagittas eius
ardentibus effecit.
Ecce peperit iniusticiam. concepit
dolorem. & peperit iniquita
tem.
Lacum aperuit & effodit
eum. & incidet in fo
ueam quam fecit.
Conuertet dolor eius in
caput eius. & in uerti
cem eius iniquitas eius descen
det.

ἐξομολογήσομαι τῷ κυρίῳ
κατὰ τὴν δικαιοσύνην αὐτοῦ,
καὶ ψαλῶ τῷ ὀνόματι κυρίου
τοῦ ὑψίστου.

εἰς τὸ τέλος
ὑπὲρ τῶν ληνῶν ψαλμὸς τῷ
δαυίδ. ·η·

Κ ύριε ὁ κύριος ἡμῶν
ὡς θαυμαστὸν τὸ ὄνο-
μά σου ἐν πάσῃ τῇ γῇ.
Ὅτι ἐπήρθη ἡ μεγαλοπρέπειά
σου ὑπεράνω τῶν οὐρανῶν.
Ἐκ στόματος νηπίων καὶ θηλα-
ζόντων κατηρτίσω αἶνον, ἕνε-
κα τῶν ἐχθρῶν σου. τοῦ κα-
ταλῦσαι ἐχθρὸν καὶ ἐκδική-
τήν.
Ὅτι ὄψομαι τοὺς οὐρανοὺς ἔρ-
γα τῶν δακτύλων σου. σελήνην
καὶ ἀστέρας, ἃ σὺ ἐθεμελίωσας.
Τί ἐστιν ἄνθρωπος ὅτι μιμνή-
σκῃ αὐτοῦ. ἢ υἱὸς ἀνθρώπου ὅ-
τι ἐπισκέπτῃ αὐτόν;
Ἠλάττωσας αὐτὸν βραχύ τι πα-
ρ᾽ ἀγγέλους, δόξῃ καὶ τιμῇ ἐστε-
φάνωσας αὐτόν. καὶ κατέστη-
σας αὐτὸν ἐπὶ τὰ ἔργα τῶν

Confitebor domino
secundum iusticiam eius.
& psallam nomini domini
altissimi.

In finem
pro torcularibus Psalmus
Dauid. .VIII.

d omine dominus nostrū
quā admirabile no
men tui in uniuersa terra.
Quoniā eleuata est magnidecētia
tua super cælos.
Ex ore infantium & lacten-
tium perfecisti laudem pro-
pter inimicos tui: destru-
ere inimicum & ul-
torem.
Quoniam uidebo cælos ope-
ra digitorum tui. lunam
& stellas quæ tu fundasti.
Quid est homo quia recor-
daris eius. aut filius hominis quo-
niam uisitas eum?
Minuisti eum breue quid præ-
ter angelos. gloria & honore coro-
nasti eum: & constitui-
sti eum supra opera

χειρῶν σου.
Πάντα ὑπέταξας ὑπὸ κάτω τῶν ποδῶν αὐτοῦ. πρόβατα καὶ βόας ἁπάσας, ἔτι δὲ καὶ τὰ κτήνη τοῦ πεδίου.
Τὰ πετεινὰ τοῦ οὐρανοῦ, καὶ τοὺς ἰχθύας τῆς θαλάσσης. τὰ διαπορευόμενα τρίβους θαλασσῶν.
Κύριε ὁ κύριος ἡμῶν. ὡς θαυμαστὸν τὸ ὄνομά σου ἐν πάσῃ τῇ γῇ.

9 εἰς τὸ τέλος ὑπὲρ τῶν κρυφίων ψαλμὸς τῷ Δαυίδ. θ.

Ἐξομολογήσομαί σοι κύριε ἐν ὅλῃ καρδίᾳ μου.
διηγήσομαι πάντα τὰ θαυμάσιά σου.
εὐφρανθήσομαι καὶ ἀγαλλιάσομαι ἐν σοί. ψαλῶ τῷ ὀνόματί σου ὕψιστε.
ἐν τῷ ἀποστραφῆναι τὸν ἐχθρόν μου εἰς τὰ ὀπίσω. ἀσθενήσουσι καὶ ἀπολοῦνται ἀπὸ προσώπου σου.
ὅτι ἐποίησας τὴν κρίσιν μου καὶ τὴν δίκην μου. ἐκάθισας ἐπὶ

manuum tui.
Omnia subiecisti sub pedidus eius: oues et boues uniuersas: insuper et pecora campi.
Volucres cæli et pisces maris.
perambulantia semitas maris. marium
Domĩe dominꝰ noster quã admirabile nomen tuum in uniuersa terra.

In finem pro occultis. Psalmus dauid. Viiii.

Confitebor tibi domine in toto corde mei.
narrabo omnia mirabilia tui.
Lætabor: & exultabo in te. psallam nomini tuo altissime.
In conuerti inimicum mei in retro. infirmabuntur & peribunt a facie tui.
Quoniam fecisti iudicium mei & causam mei. sedisti super

θρόνου ὁ κρίνων τὴν δικαιοσύ-
νην.
Ἐπετίμησας ἔθνεσι, καὶ ἀπώ-
λετο ὁ ἀσεβής. τὸ ὄνομα αὐτοῦ
ἐξήλειψας εἰς τὸν αἰῶνα, καὶ εἰς
τὸν αἰῶνα τοῦ αἰῶνος.
Τοῦ ἐχθροῦ ἐξέλιπον αἱ ῥομ-
φαῖαι εἰς τέλος. καὶ πόλεις καθεῖ-
λες.
Ἀπώλετο τὸ μνημόσυνον αὐτοῦ
μετ᾽ ἤχου. καὶ ὁ κύριος εἰς τὸν
αἰῶνα μένει.
Ἡτοίμασας ἐν κρίσει τὸν θρόνον
αὐτοῦ. καὶ αὐτὸς κρινεῖ τὴν οἰ-
κουμένην ἐν δικαιοσύνῃ. κρινεῖ
λαοὺς ἐν εὐθύτητι.
Καὶ ἐγένετο κύριος καταφυγὴ
τῷ πένητι. βοηθὸς ἐν εὐκαιρί-
αις ἐν θλίψεσι.
Καὶ ἐλπισάτωσαν ἐπὶ σοὶ οἱ γι-
νώσκοντες τὸ ὄνομά σου. ὅτι οὐκ
ἐγκατέλιπες τοὺς ζητοῦντάς
σε κύριε.
Ψάλατε τῷ κυρίῳ τῷ κατοικο-
ῦντι ἐν σιών. ἀναγγείλατε ἐν τοῖς
ἔθνεσι τὰ ἐπιτηδεύματα αὐτοῦ.
Ὅτι ἐκζητῶν τὰ αἵματα αὐτῶν
ἐμνήσθη. οὐκ ἐπελάθετο τῆς
κραυγῆς τῶν πενήτων.

ſolium iudicans iuſti-
ciam.
Increpaſti gentibus. et pe-
riit impius. nomen eius
deleſti in ſæculum: & in
ſæculum ſæculi.
Inimici defecerunt fra-
meæ in finem. & ciuitates deſtru
xiſti.
Periit memoria eius
cum ſonitu. & dominus in
æternum manet.
Paraſti in iudicio ſolium
eius. & ipſe iudicabit or-
bem in iuſticia. iudicabit
populos in æquitate.
Et fuit dominus refugium
pauperi. adiutor in opportuni-
tatibus in tribulationibus.
Et ſperent in te ſcien-
tes nomen tui. quoniam non
dereliquiſti quærentes
te domine.
Pſallite domino habitan-
ti in Sion. annuntiate in
gentibus ſtudia eius.
Quoniã requirẽs ſanguines eoꝝ
recordatus eſt. non eſt oblitus
clamoris peuperum.

| | |
|---|---|
| Ἐλέησόν με κύριε, ἴδε τὴν ταπεί | Miſerare me domine: uide humi- |
| νωσίν μου. ἐκ τῶν ἐχθρῶν μου | litatem mei ex inimicis mei. |
| ὁ ὑψῶν με ἐκ τῶν πυλῶν τοῦ | Exaltans me de portis |
| θανάτου. ὅπως ἂν ἐξαγγείλω | mortis. ut certe annunciem |
| πάσας τὰς αἰνέσεις σου ἐν | omnes laudationes tui in |
| ταῖς πύλαις τῆς θυγατρὸς | portis filiæ |
| σιών. | ſion. |
| Ἀγαλλιασόμεθα ἐπὶ τῷ σωτη- | Exultabimus in ſaluta |
| ρίῳ σου. ἐνεπάγησαν ἔθνη ἐν | ri tui. infixæ ſunt gentes in |
| διαφθορᾷ ᾗ ἐποίησαν. | in teritu quo fecerunt. |
| Ἐν παγίδι ταύτῃ ᾗ ἔκρυψαν. | In laqueo hoc quo abſconderunt. |
| συνελήφθη ὁ ποὺς αὐτῶν. | compræhenſus eſt pes eorum. |
| Γινώσκεται κύριος κρίματα | Cognoſcitur dominus iudicia |
| ποιῶν. ἐν τοῖς ἔργοις τῶν χει | faciens. in operibus ma |
| ρῶν αὐτοῦ συνελήφθη ὁ ἁ- | nuum eius conpræhenſus eſt pec |
| μαρτωλός. | cator. |
| Ἀποστραφήτωσαν οἱ ἁμαρτω | Conuertantur peccato- |
| λοὶ εἰς τὸν ᾅδην. πάντα τὰ | res in infernum. omnes |
| ἔθνη τὰ ἐπιλανθανόμενα | gentes obliuiſcentes |
| τοῦ θεοῦ. | dei. |
| Ὅτι οὐκ εἰς τέλος ἐπιλησθήσε | Quoniam non in finem obliuiſce |
| ται ὁ πτωχός. ἡ ὑπομονὴ τῶν | tur pauper. patientia |
| πενήτων οὐκ ἀπολεῖται εἰς | pauperum non peribit in |
| τέλος. | finem. |
| Ἀνάστηθι κύριε μὴ κραταιού- | Exurge domine non confor- |
| σθω ἄνθρωπος. κριθήτωσαν ἔ- | tetur homo. iudicentur gen- |
| θνη ἐνώπιόν σου. | tes coram te. |
| Κατάστησον κύριε νομοθέτην | Conſtitue domine legislatorem |
| ἐπ' αὐτούς. γνώτωσαν ἔθνη ὅτι | ſuper eos. ſciant gentes quoniam |

ἄνθρωποι εἰσίν.
Ἱνατί κύριε ἀφέστηκας μακρό-
θεν. ὑπερορᾷς ἐν εὐκαιρίαις
ἐν θλίψεσιν.
Ἐν τῷ ὑπερηφανεύεσθαι τὸν ἀ-
σεβῆ ἐμπυρίζεται ὁ πτωχός.
συλλαμβάνονται ἐν διαβου-
λίοις οἷς διαλογίζονται.
Ὅτι ἐπαινεῖται ὁ ἁμαρτωλὸς
ἐν ταῖς ἐπιθυμίαις τῆς ψυ-
χῆς αὐτοῦ. καὶ ὁ ἀδικῶν εὐ-
λογεῖται.
Παρώξυνε τὸν κύριον ὁ ἁμαρ-
τωλός. κατὰ τὸ πλῆθος τῆς
ὀργῆς αὐτοῦ οὐκ ἐκζητήσει.
Οὐκ ἔστιν ὁ θεὸς ἐνώπιον αὐτοῦ
βεβηλοῦνται αἱ ὁδοὶ αὐτοῦ
ἐν παντὶ καιρῷ.
Ἀνταναιρεῖται τὰ κρίματά
σου ἀπὸ προσώπου αὐτοῦ.
πάντων τῶν ἐχθρῶν αὐτοῦ
κατακυριεύσει.
Εἶπε γὰρ ἐν καρδίᾳ αὐτοῦ οὐ
μὴ σαλευθῶ ἀπὸ γενεᾶς
εἰς γενεὰν ἄνευ κακοῦ.
Οὗ ἀρᾶς τὸ στόμα αὐτοῦ γέ-
μει καὶ πικρίας καὶ δόλου.
ὑπὸ τὴν γλῶσσαν αὐτοῦ κόπος
καὶ πόνος.

homines sunt :
Quid domine recessisti a lon-
ge. despicis in opportunitatibus
in tribulationibus.
In superbire im-
pium incenditur pauper.
conpræhenduntur in consi-
liis quibus cogitant.
Quoniam laudatur peccator
in desyderiis ani-
mæ eius: & iniquus be-
nedicitur.
Irritauit dominum pecca-
tor. secundum multitudinem
iræ eius non requiret.
Non est deus coram eo.
inquinantur uiæ eius
in omni tempore.
Auferuntur iudicia
tui a facie eius.
omnium inimicorum eius
dominabitur.
Dixit. n. in corde eius ut
non mouear a generatione
in generationem sine malo.
Cuius maledictione os eius ple-
num est. & amaritudine & dolo
sub linguam eius labor
& dolor.

| | |
|---|---|
| ἐγκάθηται ἐνέδρᾳ μετὰ πλου | Sedet in insidiis cum |
| σίων ἐν ἀποκρύφοις. τοῦ ἀπο - | diuitibus in occultis. inter - |
| κτεῖναι ἀθῶον. | ficere innocentem. |
| οἱ ὀφθαλμοὶ αὐτοῦ εἰς τὸν πέ | Oculi eius in paupe - |
| νητα ἀποβλέπουσιν. ἐνεδρεύει | rem respiciunt. insidiatur |
| ἐν ἀποκρύφῳ ὡς λέων ἐν τῇ | in abscondito: ut leo in |
| μάνδρᾳ αὐτοῦ. | mandra eius. |
| ἐνεδρεύει τοῦ ἁρπάσαι πτωχὸν, | Insidiatur rapere pauperem. |
| ἁρπάσαι πτωχὸν ἐν τῷ ἑλκύ - | rapere pauperem in trahe |
| σαι αὐτόν. | re eum. |
| ἐν τῇ παγίδι αὐτοῦ ταπεινώ | In laqueo eius humilia - |
| σει αὐτόν. κύψει, καὶ πεσεῖται | bit eum. inclinabit: & cadet |
| ἐν τῷ κατακυριεῦσαι αὐτὸν | in dominari eum |
| τῶν πενήτων. | pauperum. |
| εἶπε γὰρ ἐν καρδίᾳ αὐτοῦ ἐ - | Dixit enim in corde eius obli - |
| πιλέλησται ὁ θεός. ἀπέστρεψε | tus est deus. auertit |
| τὸ πρόσωπον αὐτοῦ τοῦ μὴ | faciem eius non |
| βλέπειν εἰς τέλος. | uidere in finem. |
| ἀνάστηθι κύριε ὁ θεός μου ὑ - | Exurge domine deus mei: exal |
| ψωθήτω ἡ χείρ σου. μὴ ἐπι - | tetur manus tui. obli - |
| λάθῃ τῶν πενήτων σου εἰς | uiscaris pauperum tui in |
| τέλος. | finem. |
| ἕνεκεν τίνος παρώξυνεν ὁ ἀ - | propter quid irritauit im |
| σεβὴς τὸν θεόν. εἶπε γὰρ ἐν | pius deum. dixit enim in |
| καρδίᾳ αὐτοῦ οὐκ ἐκζητή - | corde eius non requi |
| σει. | ret. |
| βλέπεις ὅτι σὺ πόνον καὶ θυ - | Aspicis quoniam tu laborem et furo |
| μὸν κατανοεῖς. τοῦ παραδοῦ - | rem consideras. trade - |
| ναι αὐτὸν εἰς χεῖράς σου. | re eum in manus tui. |

σοὶ ἐγκαταλέλειπται ὁ πτωχός
ὀρφανῷ σὺ ἦσθα βοηθός.
Σύντριψον τὸν βραχίονα τοῦ
ἁμαρτωλοῦ καὶ πονηροῦ. ζη-
τηθήσεται ἡ ἁμαρτία αὐτοῦ
καὶ οὐ μὴ εὑρεθῇ.
Κύριος βασιλεύσει εἰς τὸν αἰῶ-
να καὶ εἰς τὸν αἰῶνα τοῦ αἰ-
ῶνος. ἀπολεῖσθε ἔθνη ἐκ τῆς
γῆς αὐτοῦ.
Τὴν ἐπιθυμίαν τῶν πενήτων
εἰσήκουσας κύριε. τὴν ἑτοιμα-
σίαν τῆς καρδίας αὐτῶν προ-
σέσχε τὸ οὖς σου
Κρῖναι ὀρφανῷ καὶ ταπεινῷ.
ἵνα μὴ προσθῇ ἔτι τοῦ μεγα-
λαυχεῖν ἄνθρωπος ἐπὶ τῆς
γῆς.

Ψαλμὸς τῷ Δαυὶδ εἰς
τέλος.

Ἐπὶ τῷ κυρίῳ πέποιθα.
πῶς ἐρεῖτε τῇ ψυχῇ μου
μετανα-
στεύου ἐπὶ τὰ ὄρη ὡς στρου-
θίον.
Ὅτι ἰδοὺ ἁμαρτωλοὶ ἐνέτει-
ναν τόξον. ἡτοίμασαν βέλη

Tibi derelictus est pauper.
pupillo tu fuisti adiutor.
Contere brachium
peccatoris & maligni. quære-
tur peccatum illius
& non inuenietur.
Dominus regnabit in æter-
num & in sæculum sæcu-
li. peribitis gentes e
terra eius.
Desyderium pauperum
exaudisti domine. præpara-
tionem cordis eorum at-
tendit auris tui.
Iudicare pupillo & humili.
ut non addat etiam extol-
lere homo super
terram.

Psalmus dauid in
finem.

In domino confido.
quomodo dicitis aīæ meæ
transmi-
gra ad montes ut pas-
ser.
Quoniam ecce peccatores inten-
derunt arcum. parauerunt sagittas

εἰς φαρέτραν. τοῦ κατατο-
ξεῦσαι ἐν σκοτομήνῃ τοὺς
εὐθεῖς τῇ καρδίᾳ.
Ὅτι ἃ σὺ κατηρτίσω αὐτοὶ
καθεῖλον. ὁ δὲ δίκαιος τί
ἐποίησε;
Κύριος ἐν ναῷ ἁγίῳ αὐτοῦ. κύ-
ριος ἐν οὐρανῷ ὁ θρόνος αὐ-
τοῦ.
Οἱ ὀφθαλμοὶ αὐτοῦ εἰς τὸν πέ-
νητα ἐπιβλέπουσι. τὰ βλέφα-
ρα αὐτοῦ ἐξετάζει τοὺς υἱοὺς
τῶν ἀνθρώπων.
Κύριος ἐξετάζει τὸν δίκαιον καὶ
τὸν ἀσεβῆ. ὁ δὲ ἀγαπῶν τὴν
ἀνομίαν μισεῖ τὴν ψυχὴν αὐ-
τοῦ.
Ἐπιβρέξει ἐπὶ ἁμαρτωλοὺς
παγίδας. πῦρ καὶ θεῖον καὶ
πνεῦμα καταιγίδος ἡ μερὶς
τοῦ ποτηρίου αὐτῶν.
Ὅτι δίκαιος κύριος καὶ δικαιο-
σύνας ἠγάπησεν. εὐθύτητας
εἶδε τὸ πρόσωπον αὐτοῦ.

Εἰς τὸ τέλος ὑπὲρ τῆς ὀγδόης
ψαλμὸς τῷ Δαυίδ.

Σ ῶσόν με κύριε ὅτι

in pharetram sagit-
tare in obscura luna
rectos corde.
Quoniam quæ tu perfecisti ipsi
destruxerunt. sed iustus quid
fecit?
Dominus in templo sancto eius do
minus in cælo sedes e-
ius.
Oculi eius in paupe-
rem respiciunt. palpe-
bræ eius interrogant filios
hominum.
Dominus interrogat iustum &
impium. sed diligens
iniquitatem odit animam e-
ius.
Pluet super peccatores
laqueos. ignis & sulfur &
spiritus procellæ pars
calicis eorum.
Quoniam iustus dominus & iusti-
cias dilexit. equitates
uidit uultus eius.

In finem pro octaua
Psalmus Dauid

S alua me domine quoniam

ἐκλέλοιπεν ὅσιος.
ὅτι ὠλιγώθησαν αἱ
ἀλήθειαι ἀπὸ τῶν υἱῶν τῶν
ἀνθρώπων.
Μάταια ἐλάλησαν ἕκαστος
πρὸς τὸν πλησίον αὐτοῦ. χεί-
λη δόλια ἐν καρδίᾳ καὶ ἐν
καρδίᾳ ἐλάλησαν κακά.
ἐξολοθρεύσαι κύριος πάντα τὰ
χείλη τὰ δόλια. γλῶσσαν μεγα-
λορρήμονα.
Τοὺς εἰπόντας τὴν γλῶσσαν ἡ-
μῶν μεγαλυνοῦμεν. τὰ χείλη
ἡμῶν παρ' ἡμῶν ἐστί. τίς ἡμῶν
κύριος ἐστί;
Ἕνεκεν τῆς ταλαιπωρίας τῶν
πτωχῶν καὶ τοῦ στεναγμοῦ τῶν
πενήτων, νῦν ἀναστήσομαι λέ-
γει κύριος.
Θήσομαι ἐν σωτηρίῳ. παρρησι-
άσομαι ἐν αὐτῷ.
Τὰ λόγια κυρίου λόγια ἁγνά. ἀρ-
γύριον πεπυρωμένον δοκίμιον
τῇ γῇ. ἐκκαθαρισμένον ἑπτα-
πλασίως.
Σὺ κύριε φυλάξαις ἡμᾶς καὶ
διατηρήσαις ἡμᾶς. ἀπὸ τῆς γε-
νεᾶς ταύτης καὶ εἰς τὸν αἰῶνα.
Κύκλῳ οἱ ἀσεβεῖς περιπατοῦσι.

defecit sanctus.
quoniam diminutæ sunt
ueritates a filiis
hominum.
Vana locuti sunt: singulus
ad proximum eius. la-
bia dolosa in corde: & in
corde locuti sunt mala.
Disperdat dominus omnia
labia dolosa. linguam magni-
loquam.
Dicentes linguam no-
stram magnificabimus labia
nostrũ a nobis sunt. quis nostrũ
dominus est?
Propter ærumnam
inopum & gemitum
pauperum. nunc exurgam: di-
cit dominus.
Ponam in salutari. fiduciali-
ter agam in eo.
Eloquia domini eloquia casta. ar-
gentum ignitum proba-
tum terræ. purgatum septu-
plum.
Tu domine seruabis nos: &
custodies nos. a gene-
ratione hac & in æternum
In circuitu impii ambulant.

κατὰ τὸ ὕψος σοῦ ἐπολυώρη-
σας τοὺς υἱοὺς τῶν ἀνθρώ-
πων.

εἰς τέλος ψαλμὸς τῷ
δαυὶδ.

Ἕ ως πότε κύριε ἐπι-
λήσῃ μου εἰς τέλος.
ἕως πότε ἀποστρέ-
ψεις τὸ πρόσωπόν σου ἀπ' ἐ-
μοῦ.
ἕως τίνος θήσομαι βουλὰς ἐν
ψυχῇ μου. ὀδύνας ἐν καρδίᾳ
μου ἡμέρας καὶ νυκτός.
ἕως πότε ὑψωθήσεται ὁ ἐχθρός
μου ἐπ' ἐμέ. ἐπίβλεψον εἰσά-
κουσόν μου κύριε ὁ θεός μου.
φώτισον τοὺς ὀφθαλμούς μου
μήποτε ὑπνώσω εἰς θάνατον.
μήποτε εἴπῃ ὁ ἐχθρός μου ἴσχυ-
σα πρὸς αὐτόν.
Οἱ θλίβοντές με ἀγαλλιάσονται
ἐὰν σαλευθῶ. ἐγὼ δὲ ἐπὶ τῷ
ἐλέει σου ἤλπισα.
Ἀγαλλιάσεται ἡ καρδία μου ἐπὶ
τῷ σωτηρίῳ σου. ᾄσω τῷ κυ-
ρίῳ τῷ εὐεργετήσαντί με. καὶ
ψαλῶ τῷ ὀνόματι κυρίου τοῦ

secundum altitudinem tui multipli-
casti filios homi-
num.

In finem psalmus
dauid.

u sque quo domine obli-
uisceris mei in finem.
usque quo auer-
tis faciem tui a
me.
Vsque quo ponam consilia in
anima mei. dolores in corde
mei die ac nocte.
Vsque quo exaltabitur inimicus
mei super me. respice exau-
di me domine deus mei.
Illumina oculos mei
nequando obdormiam in mortem.
nequãdo dicat inimicus mei præua-
lui in eum.
Tribulantes me exultabunt
si motus fuero. ego autem in mise-
ricordia tui speraui.
Exultabit cor meum in
salutari tui. cantabo do-
mino benefacienti me. &
psallam nomini domini

ὑψίστου.

εἰς τὸ τέλος τῷ δα
υὶδ. ψαλμὸς.

ε ἶπεν ἄφρων ἐν τῇ καρ-
δίᾳ αὐτοῦ οὐκ ἔστι θεὸς
Διεφθάρησαν καὶ ἐβδελύχθη-
σαν ἐν ἐπιτηδώμασιν. οὐκ ἔ-
στι ποιῶν χρηστότητα.
Κύριος ἐκ τοῦ οὐρανοῦ διέκυ-
ψεν ἐπὶ τοὺς υἱοὺς τῶν ἀνθρώ
πων. τοῦ ἰδεῖν εἰ ἔστι συνιῶν ἢ
ἐκζητῶν τὸν θεόν.
Πάντες ἐξέκλιναν ἅμα ἠχρει-
ώθησαν. οὐκ ἔστι ποιῶν χρησ-
τότητα, οὐκ ἔστιν ἕως ἑνός.
Οὐχὶ γνώσονται πάντες οἱ ἐργα
ζόμενοι τὴν ἀνομίαν. οἱ ἐσθί-
οντες τὸν λαόν μου ἐν βρώσει ἄρ
του.
Τὸν κύριον οὐκ ἐπεκαλέσαντο.
ἐκεῖ ἐδειλίασαν φόβῳ οὗ οὐκ
ἦν φόβος.
Ὅτι κύριος ἐν γενεᾷ δικαίων
βουλὴν πτωχοῦ κατῃσχύνατε.
ὁ δὲ κύριος ἐλπὶς αὐτοῦ ἐστί.
Τίς δώσει ἐκ σιὼν τὸ σωτήριον
τοῦ ἰσραήλ; ἐν τῷ ἐπιστρέψαι

altissimi.

In finem Da-
uid psalmus.

d ixit insipiens in cor-
de eius non est deus.
Corrupti sunt: & abominati
sunt in studiis. non
est faciens bonitatem.
Dominus de cælo respe-
xit super filios homi-
num uidere si est intelligens aut
quærens deum.
Omnes declinauerūt simul ĩutiles
facti sunt. non est faciens bonita
tem non est usq; unum.
Non ne scient omnes operan-
tes iniquitatem. uoran-
tes plebem mei in cibo pa-
nis.
Dominum non inuocauerunt.
illic trepidauerunt timore ubi nō
erat timor.
Quoniā dn̄s ĩ generatiōe iustoꝝ
consiliū inopis confudistis.
sed dominus spes eius est
Quis dabit ex Sion salutare
israel? in conuertere

κύριον τὴν αἰχμαλωσίαν τοῦ
λαοῦ αὐτοῦ ἀγαλλιάσεται ἰα-
κὼβ καὶ εὐφρανθήσεται ἰσραήλ.

Στηλογραφία δαυίδ.

Κ ύριε τίς παροικήσει
ἐν τῷ σκηνώματί σου.
ἢ τίς κατασ-
κηνώσει ἐν ὄρει ἁγίῳ σου;
Πορευόμενος ἄμωμος. καὶ ἐρ-
γαζόμενος δικαιοσύνην.
λαλῶν ἀλήθειαν ἐν καρδίᾳ αὐ-
τοῦ, ὃς οὐκ ἐδόλωσεν ἐν γλώσ-
σῃ αὐτοῦ.
Καὶ οὐκ ἐποίησε τῷ πλησίον
αὐτοῦ κακόν. καὶ ὀνειδισμὸν
οὐκ ἔλαβεν ἐπὶ τοῖς ἔγγιστα
αὐτοῦ.
ἐξουδένωται ἐνώπιον αὐτοῦ
πονηρευόμενος. τοὺς δὲ φο-
βουμένους τὸν κύριον δοξάζει.
ὁ ὀμνύων τὸν πλησίον αὐτοῦ
καὶ οὐκ ἀθετῶν. τὸ ἀργύριον αὐ-
τοῦ οὐκ ἔδωκεν ἐπὶ τόκῳ. καὶ
δῶρα ἐπ' ἀθώοις οὐκ ἔλαβεν.
ὁ ποιῶν ταῦτα, οὐ σαλευθή-
σεται εἰς τὸν αἰῶνα.

dominum captiuitatem
plebis eius exultabit ia-
cob & lætabitur israel.

Titulus Dauid.

d omine quis habitabit
in tabernaculo tui.
aut quis requie-
scet in monte sancto tui?
Vadens immaculatus. & o-
perans iustitiam.
Loquens ueritatem in corde e-
ius. qui non dolum egit in lin-
gua eius.
Et non fecit proximo
suo malum. & obprobrium
non accepit aduersus proximos
eius.
Ad nihilum deductus est coram eo
malignus: sed ti-
mentes dominum glorificat.
Iurans proximo eius
& non irritans. pecuniam e-
ius non dedit ad usuram. &
munera sup inocetibus nō accepit.
Faciens hæc. non mouebi-
tur in sæculum.

Στηλογρα-
φία τῷ Δαυίδ.

Φ ύλαξόν με κύριε ὅτι
ἐπὶ σοὶ ἤλπισα.
Εἶπα τῷ κυρίῳ κύριός
μου εἶ σύ, ὅτι τῶν ἀγαθῶν
μου οὐ χρείαν ἔχεις.
Τοῖς ἁγίοις τοῖς ἐν τῇ γῇ αὐτοῦ
ἐθαυμάστωσεν ὁ κύριος πάντα
τὰ θελήματα αὐτοῦ ἐν αὐτοῖς.
Ἐπληθύνθησαν αἱ ἀσθένειαι αὐ-
τῶν. μετὰ ταῦτα ἐτάχυναν.
Οὐ μὴ συναγάγω τὰς συναγωγὰς
αὐτῶν ἐξ αἱμάτων. οὐδὲ μὴ
μνησθῶ τῶν ὀνομάτων αὐτῶν
διὰ χειλέων μου.
Κύριος μερὶς τῆς κληρονομίας
μου, καὶ τοῦ ποτηρίου μου. σὺ
εἶ ὁ ἀποκαθιστῶν τὴν κληρονο-
μίαν μου ἐμοί.
Σχοινία ἐπέπεσόν μοι ἐν τοῖς
κρατίστοις μου. καὶ γὰρ ἡ κλη-
ρονομία μου κρατίστη μοί ἐστιν.
Εὐλογήσω τὸν κύριον τὸν συνε-
τίσαντά με. ἔτι δὲ καὶ ἕως
νυκτὸς ἐπαίδευσάν με οἱ νε-
φροί μου.
Προωρώμην τὸν κύριον ἐνώπι-

Titulus
Dauid.

c ustodi me domine
quoniam in te speraui.
dixi domino dominus
mei es tu quoniam bonorum
mei non opus habes.
Sanctis in terra eius.
mirificauit dominus omnes
uoluntates eius in eis.
Creuerunt infirmitates eo-
rum. postea accelerauerunt.
Non congregabo conuentus
eorum ex sanguinibus. neque recor-
dabor nominum eorum
per labia mei.
Dominus pars hæreditatis
mei: & poculi mei. tu
es restituens hæredita-
tem mei mihi.
Funes ceciderunt mihi in
optimis mei. & enim hæredi
tas mei optima mihi est.
Benedicam dominum erudi-
entem me. insuper & usque
noctem erudierunt me re-
nes mei.
Prouidebam dominum co-

ὸν μου διαπαντός. ὅτι ἐκ δεξι-
ῶν μου ἐστὶν ἵνα μὴ σαλευθῶ.
Διατοῦτο εὐφράνθη ἡ καρδία
μου καὶ ἠγαλλιάσατο ἡ γλῶσ-
σά μου. ἔτι δὲ καὶ ἡ σάρξ μου
κατασκηνώσει ἐπ᾽ ἐλπίδι.
ὅτι οὐκ ἐγκαταλείψεις τὴν ψυ-
χήν μου εἰς ᾅδου. οὐδὲ δώσεις
τὸν ὅσιόν σου ἰδεῖν διαφθο-
ράν.
ἐγνώρισάς μοι ὁδοὺς ζωῆς.
πληρώσεις με εὐφροσύνης
μετὰ τοῦ προσώπου σου. τερ-
πνότης ἐν τῇ δεξιᾷ σου εἰς
τέλος.

Προσευχὴ τῷ δαυίδ.

ε ἰσάκουσον κύριε δικαιο-
σύνης μου. πρόσχες τῇ
δεήσει μου.
ἐνώτισαι τὴν προσευχήν μου
οὐκ ἐν χείλεσι δολίοις.
ἐκ προσώπου σου τὸ κρίμα μου
ἐξέλθοι. οἱ ὀφθαλμοί μου ἰδέ-
τωσαν εὐθύτητας.
ἐδοκίμασας τὴν καρδίαν
μου, ἐπεσκέψω νυκτός. ἐπύ-
ρωσάς με, καὶ οὐχ εὑρέθη ἐν

ram me semper. quoniam a de-
xtris mei est ut non mouear.
Propterea lætatum est cor
mei: & exultauit lin-
gua mei. insuper & caro mei
requiescet in spe.
Quoniam non derelinques ani-
mam mei ĩ inferno. neq; dabis
sanctum tui uidere inter
itum.
Notificasti mihi uias uitæ
implebis me læticiæ.
cum uultu tui. iucundi-
tas in dextera tui in
finem.

Oratio Dauid.

e xaudi domine iusti-
ciam mei. intende
deprecationi mei.
Audi orationem mei.
non in labiis dolosis.
De uultu tui iudicium mei
exeat. oculi mei uide-
ant æquitates.
Probasti cor
mei uisitasti nocte. incendi-
sti me. & non inuenta est in

ἐμοὶ ἀδικία.
Ὅπως ἂν μὴ λαλήσῃ τὸ στόμα
μου τὰ ἔργα τῶν ἀνθρώπων.
Διὰ τοὺς λόγους τῶν χειλέων
σου ἐγὼ ἐφύλαξα ὁδοὺς σκλη-
ράς.
Κατάρτισαι τὰ διαβήματά
μου ἐν ταῖς τρίβοις μου. ἵνα
μὴ σαλωθῶσι τὰ διαβήμα
τά μου.
Ἐγὼ ἐκέκραξα ὅτι ἐπήκουσάς
μου ὁ θεός. κλῖνον τὸ οὖς σου
ἐμοὶ καὶ εἰσάκουσον τῶν ῥημά-
των μου.
Θαυμάστωσον τὰ ἐλέη σου. ὁ σώ
ζων τοὺς ἐλπίζοντας ἐπὶ σοί.
Ἐκ τῶν ἀνθεστηκότων τῇ δεξιᾷ
σου. φύλαξόν με κύριε ὡς κό-
ρην ὀφθαλμοῦ.
Ἐν σκέπῃ τῶν πτερύγων σου σκε
πάσεις με. ἀπὸ προσώπου ἀ-
σεβῶν τῶν ταλαιπωρησάν-
των με.
Οἱ ἐχθροί μου τὴν ψυχήν μου
περιέσχον. τὸ στέαρ αὐτῶν συνέ
κλεισαν. τὸ στόμα αὐτῶν ἐλά
λησεν ὑπερηφανίαν.
Ἐκβάλλοντές με νυνὶ περιεκύ-
κλωσάν με. τοὺς ὀφθαλμοὺς

me in iusticia.
Vt non loquatur os
mei opera hominum.
propter uerba labiorum
tui ego custodiui uias du-
ras.
Perfice gressus
mei in semitis mei. ut
non moueantur uesti-
gia mei.
Ego clamaui quoniam exaudisti
me deus. inclina aurem tui
mihi & exaudi uer-
ba mei.
Mirifica misericordias tui sal
uans sperantes in te.
Ex resistentibus dexteræ
tui. custodi me domine ut pu-
pillam oculi.
In tegmine alarum tui prote-
ges me. a facie impi-
orum affligenti-
um me.
Inimici mei animam mei
obsederunt. adipem eorum conclu
serunt. os eorum locutum
est superbiam.
Proiicientes me nunc circunde
derunt me. oculos

αὐτῶν ἔθεντο ἐκκλῖναι ἐν
τῇ γῇ.
Ὑπέλαβόν με ὡσεὶ λέων ἕτοι-
μος εἰς θήραν. καὶ ὡσεὶ σκύμνος
οἰκῶν ἐν ἀποκρύφοις.
Ἀνάστηθι κύριε πρόφθασον αὐ-
τοὺς καὶ ὑποσκέλισον αὐτούς.
ῥῦσαι τὴν ψυχήν μου ἀπὸ ἀσε-
βοῦς. ῥομφαίας σου ἀπὸ ἐχ-
θρῶν τῆς χειρός σου.
Κύριε ἀπὸ ὀλίγων ἀπὸ γῆς δι-
αμέρισον αὐτοὺς ἐν τῇ ζωῇ αὐ-
τῶν. καὶ τῶν κεκρυμμένων
σου ἐπλήσθη ἡ γαστὴρ αὐτῶν.
ἐχορτάσθησαν υἱῶν καὶ ἀφῆ-
καν τὰ κατάλοιπα τοῖς νηπί-
οις αὐτῶν.
ἐγὼ δὲ ἐν δικαιοσύνῃ ὀφθήσο-
μαι τῷ προσώπῳ σου. χορτα-
σθήσομαι ἐν τῷ ὀφθῆναι μοι
τὴν δόξαν σου.

Δόξα. κάθισμα. β.
εἰς τὸ τέλος τῷ παιδὶ κυ-
ρίου τῷ δαυὶδ ἃ ἐλάλησε τῷ
κυρίῳ τοὺς λόγους τῆς ᾠδῆς
ταύτης ἐν ἡμέρᾳ ᾗ ἐρρύσα-
το αὐτὸν ὁ κύριος ἐκ χειρὸς
πάντων τῶν ἐχθρῶν αὐτοῦ

eorum poſuerunt declinare
in terra.
Suſceperunt me ut leo pa-
ratus in prædā. & ſicut catulus
leonis habitans in abſconditis.
Exurge domine præueni e-
os: & ſupplanta eos.
eripe animam mei ab im-
pio frameæ tui ab ini-
micis manus tui.
Domine a paucis de terra di-
uide eos in uita e-
orum. & abſconditis
tui impletus eſt uenter eorum.
Saturati ſunt filiis & dimiſe-
runt reliquias paruu-
lis eorum.
Ego autem in iuſtitia uide-
bor faciei tui. ſatia-
hor in uideri mihi
gloriam tuam.

Gloria. ſeſſio ſecunda.
In finem puero do-
mini Dauid quæ locutus eſt
domino ſermones cantici
huius in die qua libera-
uit eum dominus de manu
omnium inimicorum eius

Καὶ ἐκ χειρὸς σαοὺλ καὶ εἶπε.

ἀ γαπήσω σε
κύριε ἡ ἰσ-
χύς μου
κύριος
στερέωμά μου καὶ κα-
ταφυγή μου καὶ ῥύστης μου.
Ὁ θεός μου βοηθός μου καὶ ἐλ-
πιῶ ἐπ᾽ αὐτόν. ὑπερασπιστής
μου καὶ κέρας σωτηρίας μου
καὶ ἀντιλήπτωρ μου.
Αἰνῶν ἐπικαλέσομαι τὸν κύ-
ριον. καὶ ἐκ τῶν ἐχθρῶν μου
σωθήσομαι.
Περιέσχον με ὠδῖνες θανάτου
καὶ χείμαρροι ἀνομίας ἐξετά-
ραξάν με.
Ὠδῖνες ᾅδου περιεκύκλωσάν
με. προέφθασάν με παγίδες
θανάτου.
Καὶ ἐν τῷ θλίβεσθαί με ἐπεκα-
λεσάμην τὸν κύριον. καὶ πρὸς
τὸν θεόν μου ἐκέκραξα.
ἤκουσεν ἐκ ναοῦ ἁγίου αὐτοῦ
φωνῆς μου. καὶ ἡ κραυγή μου
ἐνώπιον αὐτοῦ εἰσελεύσεται
εἰς τὰ ὦτα αὐτοῦ.

& de manu Saul: & dixit.

d Iligam te
domine for-
titudo mei
dominus
firmamentum mei: & refu-
gium mei. & liberator mei.
Deus mei adiutor mei: & spe-
rabo in eum. protector
mei & cornu salutis mei.
& susceptor mei.
Laudans inuocaui domi-
num. & ex inimicis mei
saluabor.
Obsederunt me dolores mortis.
& torrentes iniquitatis conturba
ueruut me.
Dolores inferni circundederunt
me. præoccupauerunt me laquei
mortis.
Et in tribulari me inuo-
caui dominum. & ad
deum mei clamaui.
Audiuit ex templo sancto eius
uocem mei. & clamor mei
coram eo introibit
in aures eius.

Καὶ ἐσαλεύθη καὶ ἔντρομος ἐ-
γενήθη ἡ γῆ. καὶ τὰ θεμέλια
τῶν ὀρέων ἐταράχθησαν, καὶ
ἐσαλεύθησαν ὅτι ὠργίσθη αὐ-
τοῖς ὁ θεός.
Ἀνέβη καπνὸς ἐν ὀργῇ αὐτοῦ
καὶ πῦρ ἀπὸ προσώπου αὐτοῦ
καταφλεγήσεται. ἄνθρακες ἀ-
νήφθησαν ἀπ᾽ αὐτοῦ.
Καὶ ἔκλινεν οὐρανοὺς καὶ κατέ-
βη. καὶ γνόφος ὑπὸ τοὺς πό-
δας αὐτοῦ.
Καὶ ἐπέβη ἐπὶ χερουβὶμ. καὶ ἐ-
πετάσθη. ἐπετάσθη ἐπὶ πτερύ-
γων ἀνέμων.
Καὶ ἔθετο σκότος ἀποκρυφὴν
αὐτοῦ κύκλῳ αὐτοῦ, ἡ σκηνὴ αὐτοῦ
σκοτεινὸν ὕδωρ ἐν νεφέλαις ἀέ-
ρων.
Ἀπὸ τῆς τηλαυγήσεως ἐνώπιον
αὐτοῦ αἱ νεφέλαι διῆλθον. χά-
λαζα καὶ ἄνθρακες πυρός.
Καὶ ἐβρόντησεν ἐξ οὐρανοῦ ὁ κύ-
ριος. καὶ ὁ ὕψιστος ἔδωκε φω-
νὴν αὐτοῦ.
Ἐξαπέστειλε βέλη καὶ ἐσκόρπι-
σεν αὐτούς. καὶ ἀστραπὰς ἐπλή-
θυνε καὶ ἐτάραξεν αὐτούς.
Καὶ ὤφθησαν αἱ πηγαὶ τῶν ὑ-

Et commota est. & tremens fu-
it terra. & fundamenta
montium turbata sunt &
commota sunt: quoniam iratus est
eis deus.
Ascendit fumus in ira eius
& ignis a facie eius
ardescet. carbones succen-
si sunt ab eo.
Et inclinauit cælos & descen-
dit. & caligo sub pe-
dibus eius.
Et ascendit super cherubim & uo-
lauit. uolauit super pen-
nas uentorum.
Et posuit tenebras latibulum
eius ī circuitu eius: tabernaculū eiꝰ
tenebrosa aqua in nubibus ae-
rum.
A fulgore coram
eo nubes transierunt. gran-
do & carbones ignis.
Et intonuit de cælo domi
nus: & altissimus dedit uo
cem eius.
Misit sagittas & dissipa
uit eos. & fulgura multiplica
uit & conturbauit eos.
Et apparuerunt fontes aqua

δάτων. καὶ ἀνεκαλύφθη τὰ θε
μέλια τῆς οἰκουμένης.
Ἀπὸ ἐπιτιμήσεώς σου κύριε. ἀ-
πὸ ἐμπνεύσεως πνεύματος
ὀργῆς σου.
Ἐξαπέστειλεν ἐξ ὕψους καὶ ἔλα
βέ με. προσελάβετό με ἐξ ὑ-
δάτων πολλῶν.
Ῥύσεταί με ἐξ ἐχθρῶν μου δυ-
νατῶν. καὶ ἐκ τῶν μισούντων
με, ὅτι ἐστερεώθησαν ὑπὲρ ἐ-
μέ.
Προέφθασάν με ἐν ἡμέρᾳ κα-
κώσεώς μου. καὶ ἐγένετο κύ-
ριος στήριγμά μου.
Καὶ ἐξήγαγέ με εἰς πλατυσμόν,
ῥύσεταί με ὅτι ἠθέλησέ με.
Καὶ ἀνταποδώσει μοι κύριος
κατὰ τὴν δικαιοσύνην μου.
καὶ κατὰ τὴν καθαριότητα τῶν
χειρῶν μου ἀνταποδώσει
μοι.
Ὅτι ἐφύλαξα τὰς ὁδοὺς κυρίου.
καὶ οὐκ ἠσέβησα ἀπὸ τοῦ θεοῦ
μου.
Ὅτι πάντα τὰ κρίματα αὐτοῦ
ἐνώπιόν μου. καὶ τὰ δικαιώ
ματα αὐτοῦ οὐκ ἀπέστησα ἀ-
π' ἐμοῦ.

rum. & reuelata sunt funda-
menta orbis.
Ab increpatione tua domine.
ab inspiratione spiritus
iræ tui.
Misit de alto & ac-
cepit me. assumpsit me ex a-
quis multis.
Eripiet me de inimicis mei po-
tentibus. & ab odio habentibus
me quoniam confortati sunt super
me.
Præuenerunt me in die afflicti-
onis mei. & est do-
minus firmamentum mei.
Et eduxit me in latitudinem.
liberabit me. quoniam uoluit me.
Et reddet mihi dominus
secundum iusticiam mei.
et secundum puritatem
manuum mei retribuet
mihi.
Quoniam custodiui uias domini.
& non impie gessi a deo
meo.
Quoniam omnia iudicia eius
coram me & iustificatio
nes eius non auerti a
me.

Καὶ ἔσομαι ἄμωμος μετ' αὐ-
τοῦ. καὶ φυλάξομαι ἀπὸ τῆς
ἀνομίας μου.
Καὶ ἀνταποδώσει μοι κύριος
κατὰ τὴν δικαιοσύνην μου.
καὶ κατὰ τὴν καθαριότητα
τῶν χειρῶν μου ἐνώπιον αὐ-
τοῦ.
Μετὰ ὁσίου ὅσιος ἔσῃ. καὶ με-
τὰ ἀνδρὸς ἀθῴου ἀθῷος ἔσῃ.
Καὶ μετὰ ἐκλεκτοῦ ἐκλεκτὸς
ἔσῃ. καὶ μετὰ στρεβλοῦ δια-
στρέψεις.
Ὅτι σὺ λαὸν ταπεινὸν σώσεις.
καὶ ὀφθαλμοὺς ὑπερηφά-
νων ταπεινώσεις.
Ὅτι σὺ φωτιεῖς λύχνον μου
κύριε. ὁ θεός μου φωτιεῖς τὸ
σκότος μου.
Ὅτι ἐν σοὶ ῥυσθήσομαι ἀπὸ πει-
ρατηρίου. καὶ ἐν τῷ θεῷ μου
ὑπερβήσομαι τεῖχος.
Ὁ θεός μου ἄμωμος ἡ ὁδὸς αὐ-
τοῦ. τὰ λόγια κυρίου πεπυρω-
μένα. ὑπερασπιστής ἐστι πάν-
των τῶν ἐλπιζόντων ἐπ' αὐ-
τῷ.
Τίς θεὸς πλὴν τοῦ θεοῦ ἡμῶν;
ὁ θεὸς ὁ περιζωννύων με δύ-

Et ero immaculatus cum i-
pſo. et cauebo ab
iniquitate mei.
Et retribuet mihi dominus
ſecundum iuſticiam mei.
et ſecundum puritatem
manuum mei coram i-
pſo.
Cum ſancto ſanctus eris. et
cum uiro innocente innocens eris.
Et cum electo electus
eris. et cum peruerſo peruer-
tes.
Quoniã tu populũ humilẽ ſaluabis
et oculos ſuperbo-
rum humiliabis.
Quoniã tu illuminabis lucernã mei
domine. deus mei illuminabis
tenebram mei.
Quoniam in te eripiar a tempta-
tione. & in deo mei
tranſcendam murum.
Deus meus immaculata uia e-
ius. eloquia domini igni-
ta. protector eſt omni-
um ſperantium in e-
o.
Quis deus præter deum noſtrũ?
deus præcingens me uir-

ναμιν. καὶ ἔθετο ἄμωμον τὴν
ὁδόν μου.
Καταρτιζόμενος τοὺς πόδας
μου ὡσεὶ ἐλάφου. καὶ ἐπὶ τὰ
ὑψηλὰ ἱστῶν με.
Διδάσκων χεῖρας μου εἰς πό-
λεμον. καὶ ἔθου τόξον χαλ-
κοῦν τοὺς βραχίονάς μου.
Καὶ ἔδωκάς μοι ὑπερασπισ-
μὸν σωτηρίας, καὶ ἡ δεξιά σου
ἀντελάβετό μου.
Καὶ ἡ παιδεία σου ἀνόρθωσέ
με εἰς τέλος. καὶ ἡ παιδεία
σου αὐτή με διδάξει.
Ἐπλάτυνας τὰ διαβήματα
μου ὑποκάτω μου. καὶ οὐκ
ἠσθένησε τὰ ἴχνη μου.
Καταδιώξω τοὺς ἐχθρούς μου,
καὶ καταλήψομαι αὐτούς. καὶ
οὐκ ἀποστραφήσομαι ἕως ἂν
ἐκλείπωσιν.
Ἐκθλίψω αὐτούς, καὶ οὐ μὴ δύ-
νωνται στῆναι. πεσοῦνται ὑπὸ
τοὺς πόδας μου.
Καὶ περιέζωσάς με δύναμιν
εἰς πόλεμον. συνεπόδισας
πάντας τοὺς ἐπανισταμένους ἐ-
π' ἐμὲ ὑποκάτω μου.
Καὶ τοὺς ἐχθρούς μου ἔδωκας

tutem. & posuit immaculatam
uiam mei.
Perficiens pedes
mei ueluti cerui. & super
alta statuens me.
Docens manus mei in bel-
lum. & posuisti arcum ae-
reum brachia mea.
Et dedisti mihi protecti-
onem salutis. & dextera tui
suscepit me.
Et disciplina tui correxit
me in finem. & disciplina
tui ipsa me docebit.
Dilatasti gressus
mei subtus me. & non
infirmata sunt uestigia mei.
Persequar inimicos mei
& comprӕhendam eos. &
non conuertar donec
deficiant.
Elidam eos: & non pote-
runt stare. cadent sub
pedes mei.
Et prӕcinxisti me uirtutem
in bellum. compediuisti
omnes insurgentes
contra me subtus me.
Et inimicos mei dedisti

| | |
|---|---|
| μοι νῶτον. καὶ τοὺς μισοῦντάς | mihi dorsum. & odio habentes |
| με ἐξωλόθρευσας. | me disperdidisti. |
| ἐκέκραξαν καὶ οὐκ ἦν ὁ σώζων. | Clamauerunt: & non erat saluãs |
| πρὸς κύριον καὶ οὐκ εἰσήκουσεν | ad dominum: & non exaudiuit |
| αὐτῶν. | eos. |
| Καὶ λεπτυνῶ αὐτοὺς ὡσεὶ χνοῦν | Et comminuam eos ut puluerem |
| κατὰ πρόσωπον ἀνέμου. ὡς πη | ante faciem uenti. ut lu- |
| λὸν πλατειῶν λεανῶ αὐτούς. | tum platearum delebo eos. |
| ῥύσῃ με ἐξ ἀντιλογίας λαοῦ. κα | Liberabis me ex contradictione po |
| ταστήσεις με εἰς κεφαλὴν ἐθ- | puli. constitues me in caput gen- |
| νῶν. | tium. |
| λαὸς ὃν οὐκ ἔγνων ἐδούλευσέ | Populus quem nõ cognoui seruiuit |
| μοι. εἰς ἀκοὴν ὠτίου ὑπήκου- | mihi. in auditionem auris oboedi |
| σέ μου. | uit mihi. |
| υἱοὶ ἀλλότριοι ἐψεύσαντό μοι. | Filii alieni mentiti sunt mihi. |
| υἱοὶ ἀλλότριοι ἐπαλαιώθησαν, | filii alieni inueterati sunt: |
| καὶ ἐχώλαναν ἀπὸ τῶν τρί- | & claudicauerunt a semi- |
| βων αὐτῶν. | tis eorum. |
| Ζῇ κύριος καὶ εὐλογητὸς ὁ θεός | Viuit dominus & benedictus deus |
| καὶ ὑψωθήτω ὁ θεὸς τῆς σωτη | & exaltetur deus salu- |
| ρίας μου. | tis mei. |
| ὁ θεὸς ὁ διδοὺς ἐκδικήσεις μοι, | Deus dans uindictam mihi: |
| καὶ ὑποτάξας λαοὺς ὑπ' ἐμέ. | & subiiciens populos sub me. |
| ὁ ῥύστης μου ἐξ ἐχθρῶν μου | Liberator mei de inimicis mei |
| ὀργίλων. | iracundis. |
| ἀπὸ τῶν ἐπανισταμένων ἐπ' ἐμὲ | Ab insurgentibus in me |
| ὑψώσεις με. ἀπὸ ἀνδρὸς ἀδί- | exaltabis me. a uiro ini- |
| κου ῥύσῃ με. | quo liberabis me. |
| διὰ τοῦτο ἐξομολογήσομαί σοι | Propterea confitebor tibi |

ἐν ἔθνεσι κύριε. καὶ τῷ ὀνόμα
τί σου ψαλῶ.
Μεγαλύνων τὰς σωτηρίας τοῦ
βασιλέως καὶ ποιῶν ἔλεος
τῷ χριστῷ αὐτοῦ τῷ Δαυὶδ
καὶ τῷ σπέρματι αὐτοῦ ἕως αἰ-
ῶνος.

εἰς τέλος ψαλμὸς τῷ
Δαυὶδ

Ο ι οὐρανοὶ διηγοῦνται
δόξαν θεοῦ. ποίησιν
δὲ χειρῶν αὐτοῦ
ἀναγγέλλει τὸ στερέωμα.
Ἡμέρα τῇ ἡμέρᾳ ἐρεύγεται ῥῆ-
μα. καὶ νὺξ νυκτὶ ἀναγγέλλει
γνῶσιν.
Οὐκ εἰσὶ λαλιαὶ οὐδὲ λόγοι, ὧν
οὐχὶ ἀκούονται αἱ φωναὶ αὐ-
τῶν.
εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ
φθόγγος αὐτῶν. καὶ εἰς τὰ πέ-
ρατα τῆς οἰκουμένης τὰ ῥήμα
τα αὐτῶν.
ἐν τῷ ἡλίῳ ἔθετο τὸ σκήνωμα
αὐτοῦ. καὶ αὐτὸς ὡς νυμφίος
ἐκπορευόμενος ἐκ παστοῦ αὐ-
τοῦ.

in gentibus domine. & nomi-
ni tui pſallam.
Magnificans ſalutes
regis: & faciens miſericordiam
chriſto eius Dauid
& ſæmini eius uſq; ſæ-
culum.

In finem pſalmus
Dauid.

c æli enarrant
gloriam dei. opus
autem manuum eius
annuntiat firmamentum.
Dies diei eructat uer-
bum. & nox nocti annuntiat
ſcientiam.
Nõ ſũt loquelæ neq; ſermones:
quorum non audiuntur uoces eo-
rum.
In omnem terram exiuit
ſonus eorum. & in fi-
nes orbis uer-
ba eorum.
In ſole poſuit tabernaculum
eius. & ipſe ut ſponſus
egrediens ex thalamo e-
ius.

| | |
|---|---|
| Ἀγαλλιάσεται ὡς γίγας δρα-<br>μεῖν ὁδόν. ἀπ᾽ ἄκρου τοῦ οὐρα-<br>νοῦ ἡ ἔξοδος αὐτοῦ. | Exultabit ut gigas cur-<br>rere uiam. a summo cæ-<br>li exitus eius. |
| Καὶ τὸ κατάντημα αὐτοῦ ἕως ἄ-<br>κρου τοῦ οὐρανοῦ. καὶ οὐκ ἔσ-<br>τιν ὃς ἀποκρυβήσεται τῆς<br>θέρμης αὐτοῦ. | Et occursus usque<br>summum cæli. et non<br>est qui abscondetur<br>calore eius. |
| Ὁ νόμος κυρίου ἄμωμος ἐπισ-<br>τρέφων ψυχάς. ἡ μαρτυρία κυ-<br>ρίου πιστὴ σοφίζουσα νήπια. | Lex domini immaculata conuer-<br>tens animas. testimonium do-<br>mini fidele erudiens paruulos. |
| Τὰ δικαιώματα κυρίου εὐθέα<br>εὐφραίνοντα καρδίαν. ἡ ἐντο<br>λὴ κυρίου τηλαυγὴς φωτίζου<br>σα ὀφθαλμούς. | Iustificationes domini rectæ<br>lætificantes corda. manda<br>tum domini lucidum illumi-<br>nans oculos. |
| Φόβος κυρίου ἁγνός, διαμέν-<br>ων εἰς αἰῶνα αἰῶνος. τὰ κρί-<br>ματα τοῦ κυρίου ἀληθινά δε<br>δικαιωμένα ἐπὶ τὸ αὐτό. | Timor domini castus perma-<br>nens in sæculum sæculi. iudi-<br>cia domini uera iustifica-<br>ta in idipsum |
| Ἐπιθυμητὰ ὑπὲρ χρυσίον καὶ<br>λίθον τίμιον πολύν. καὶ γλυ-<br>κύτερα ὑπὲρ μέλι καὶ κη-<br>ρίον. | Desiderabilia super aurum &<br>lapidem preciosum multũ. & dul<br>ciora super mel & fa-<br>uum. |
| Καὶ γὰρ ὁ δοῦλος σου φυλάσ-<br>σει αὐτά. ἐν τῷ φυλάσσειν<br>αὐτὰ ἀνταπόδοσις πολλή. | Et enim seruus tui custo-<br>dit ea. in custodiendo<br>ea retributio multa. |
| Παραπτώματα τίς συνήσει. ἐκ<br>τῶν κρυφίων μου καθάρισόν<br>με. καὶ ἀπὸ τῶν ἀλλοτρίων<br>φεῖσαι τοῦ δούλου σου. | Delicta quis intelliget. ex<br>occultis mei munda<br>me domine. & ab alienis<br>parce serui tui. |

ἐὰν μή μου κατακυριεύσωσι,
τότε ἄμωμος ἔσομαι. καὶ κα
θαρισθήσομαι ἀπὸ ἁμαρτίας
μεγάλης.
Καὶ ἔσονται εἰς εὐδοκίαν τὰ λό
για τοῦ στόματός μου. καὶ ἡ
μελέτη τῆς καρδίας μου ἐνώ
πιόν σου διαπαντός.
Κύριε βοηθέ μου καὶ λυτρωτά
μου.

Εἰς τέλος ψαλμὸς Δαυίδ

ἐ πακούσαι σου κύριος
ἐν ἡμέρᾳ θλίψεως.
ὑπερασπίσαι σου
τὸ ὄνομα τοῦ θεοῦ ἰακώβ.
ἐξαποστείλαι σοι βοήθειαν ἐξ ἁ
γίου. καὶ ἐκ σιὼν ἀντιλάβοιτό
σοι.
Μνησθείη πάσης θυσίας σου.
καὶ τὸ ὁλοκαύτωμά σου πια-
νάτω.
Δώη σοι κύριος κατὰ τὴν καρ-
δίαν σου. καὶ πᾶσαν τὴν βου-
λήν σου πληρώσαι.
Ἀγαλλιασόμεθα ἐπὶ τῷ σωτη
ρίῳ σου. καὶ ἐν ὀνόματι κυρί-

Si non mei dominata fuerit
tunc immaculatus ero. & munda
bor a peccato
magno.
Et erunt in beneplacitum elo-
quia oris mei. &
meditatio cordis mei co-
ram te semper.
Domine adiutor mei. & redēptor
mei.

In finem psalmus Dauid.

e Xaudiat tui
dominus ī die tribulatiōis
protegat te
nomen dei iacob.
Emittat tibi auxilium ex san-
cto. & ex sion suscipiat
te.
Recordetur omnis sacrificii tui.
& holocaustū tui pingue-
scat.
Det tibi dominus secundum
cor tui. & omne consi-
lium tui impleat.
Lætemur in saluta-
ri tui. & in nomine domi-

ου θεοῦ ἡμῶν μεγαλυνθησόμε-
θα.
Πληρώσαι κύριος πάντα τὰ
αἰτήματά σου. νῦν ἔγνων ὅτι ἔ
σωσε κύριος τὸν χριστὸν αὐτοῦ.
Ἐπακούσεται αὐτοῦ ἐξ οὐρα-
νοῦ ἁγίου αὐτοῦ. ἐν δυναστεί-
αις ἡ σωτηρία τῆς δεξιᾶς αὐ-
τοῦ.
Οὗτοι ἐν ἅρμασι καὶ οὗτοι ἐν
ἵπποις. ἡμᾶς δὲ ἐν ὀνόματι
κυρίου θεοῦ ἡμῶν ἐπικαλεσό-
μεθα.
Αὐτοὶ συνεποδίσθησαν καὶ ἔ-
πεσον. ἡμᾶς δὲ ἀνέστημεν
καὶ ἀνωρθώθημεν.
Κύριε σῶσον τὸν βασιλέα καὶ
ἐπάκουσον ἡμῶν. ἐν ἣ ἂν ἡ-
μέρα ἐπικαλεσώμεθά σε.

Εἰς τέλος ψαλμὸς τῷ Δαυίδ.

Κ ύριε ἐν τῇ δυνάμει
σου εὐφρανθήσεται ὁ
βασιλεὺς. καὶ
ἐν τῷ σωτηρίῳ σου ἀγαλλιά-
σεται σφόδρα.
Τὴν ἐπιθυμίαν τῆς καρδίας
αὐτοῦ ἔδωκας αὐτῷ. καὶ τὴν

nĩ dei noſtrum magnificabi-
mur.
Impleat dominus omnes
petitiones tui. nũc cognoui quoniã
ſaluauit dominus chriſtum eius.
Exaudiet eum de cæ-
lo ſancto eius. in potentati-
bus ſalus dexteræ e-
ius.
Hi in curribus. & hi in
equis. nos autem in nomine
domini dei noſtrum inuocabi-
mus.
Ipſi compediti ſunt & ce-
ciderunt. nos autem ſurreximus
& erecti ſumus.
Domine ſalua regem. &
exaudi nos in quacunꝙ di-
e inuocauerimus te.

In finem pſalmus Dauid.

d omine in uirtute
tua lætabitur
rex. &
in ſalutari tui exulta
bit uæhementer.
Deſyderium cordis
eius dediſti ei. &

θέλησιν τῶν χειλέων αὐτοῦ
οὐκ ἐστέρησας αὐτόν.
Ὅτι προέφθασας αὐτὸν ἐν εὐ-
λογίαις χρηστότητος. ἔθηκας ἐ-
πὶ τὴν κεφαλὴν αὐτοῦ στέφα-
νον ἐκ λίθου τιμίου.
Ζωὴν ᾐτήσατό σε, καὶ ἔδωκας
αὐτῷ. μακρότητα ἡμερῶν
εἰς αἰῶνα αἰῶνος.
Μεγάλη ἡ δόξα αὐτοῦ ἐν τῷ
σωτηρίῳ σου. δόξαν καὶ μεγα-
λοπρέπειαν ἐπιθήσεις ἐπ᾽ αὐ-
τόν.
Ὅτι δώσεις αὐτῷ εὐλογίαν εἰς
αἰῶνα αἰῶνος. εὐφρανεῖς αὐ-
τὸν ἐν χαρᾷ μετὰ τοῦ προ-
σώπου σου.
Ὅτι ὁ βασιλεὺς ἐλπίζει ἐπὶ κύ-
ριον. καὶ ἐν τῷ ἐλέει τοῦ ὑ-
ψίστου οὐ μὴ σαλευθῇ.
Εὑρεθείη ἡ χείρ σου πᾶσι τοῖς ἐχ-
θροῖς σου. ἡ δεξιά σου εὕροι πάν-
τας τοὺς μισοῦντάς σε.
Ὅτι θήσεις αὐτοὺς ὡς κλίβανον
πυρὸς ἐν καιρῷ τοῦ προσώπου
σου. κύριος ἐν ὀργῇ αὐτοῦ συν-
ταράξει αὐτούς, καὶ καταφά-
γεται αὐτοὺς πῦρ.
Τὸν καρπὸν αὐτῶν ἀπὸ τῆς γῆς

uoluntatem labiorum eius
non priuasti eum.
Quoniam præuenisti eum in bene
dictionibus iucunditatis. posuisti su
ꝑ caput eius coro
nam ex lapide precioso.
Vitam petiit te et dedisti
ei. longitudinē dierū
in sæculū sæculi.
Magna gloria eius in
salutari tuo. gloriam & magni-
decentiam impones super e-
um.
Quoniā dabis ei benedictionē in
sæculum sæculi. Lætificabis e-
um in gaudio cum uul-
tu tui.
Quoniam rex sperat in do-
minum. & in misericordia altis-
simi ne commoueatur.
Inueniatur manus tui omnibus ini-
micis tui. dextera tui inueniat o-
mnes odientes te.
Quoniā pones eos ut clibanum
ignis in tempore uultus
tui. dominus in ira eius contur-
babit eos. & deuora-
bit eos ignis.
Fructum eorum a terra

ἀπολεῖς. καὶ τὸ σπέρμα αὐ-
τῶν ἀπὸ υἱῶν ἀνθρώπων.
Ὅτι ἔκλιναν εἰς σὲ κακὰ διε-
βουλεύσαντο βουλάς, αἷς οὐ
μὴ δύνωνται στῆναι.
Ὅτι θήσεις αὐτοὺς νῶτον ἐν τοῖς
περιλοίποις σου. ἑτοιμάσεις τὸ
πρόσωπον αὐτῶν.
Ὑψώθητι κύριε ἐν τῇ δυνάμει
σου. ᾄσομεν καὶ ψαλοῦμεν
τὰς δυναστείας σου.

Ψαλμὸς τῷ Δαυὶδ εἰς τὸ
τέλος ὑπὲρ τῆς ἀντιλήψεως
τῆς ἑωθινῆς.

Ὁ θεὸς ὁ θεός μου
πρόσχες μοι ἵνατι
ἐγκατέλιπές με;
μακρὰν ἀπὸ τῆς σωτηρίας
μου οἱ λόγοι τῶν παραπτωμά-
των μου.
Ὁ θεός μου κεκράξομαι ἡμέ-
ρας καὶ οὐκ εἰσακούσῃ. καὶ νυ-
κτὸς καὶ οὐκ εἰς ἄνοιαν μοι.
Σὺ δὲ ἐν ἁγίῳ κατοικεῖς ὁ ἔπαι-
νος τοῦ ἰσραήλ.
Ἐπὶ σοὶ ἤλπισαν οἱ πατέρες ἡ-
μῶν. ἤλπισαν καὶ ἐρρύσω αὐ-

perdes. & sæmen eo-
rum a filiis hominum.
Quoniã declinauerũt ĩ te mala co-
gitauerũt consilia quibus non
potuerunt sistere.
Quoniã pones eos dorsum in
reliquiis tui. præparabis
uultum eorum.
Exaltare domine in uirtute
tui. cantabimus & psallemus
potentias tui.

Psalmus David in
finem pro susceptione
matutina.

Deus deus mei
intende mihi. quid
dereliquisti me?
longe a salute
mei uerba delicto-
rum mei.
Deus mei clamabo di-
e & non exaudies. & no-
cte & non in insipientiam mihi.
Tu autem in sancto habitas
laus israel.
In te sperauerunt patres no-
strum. sperauerunt & liberasti e

τοὺς.

Πρὸς σὲ ἐκέκραξαν καὶ ἐσώθησαν. ἐπὶ σοὶ ἤλπισαν καὶ οὐ κατῃσχύνθησαν.

Ἐγὼ δέ εἰμι σκώληξ καὶ οὐκ ἄνθρωπος. ὄνειδος ἀνθρώπων καὶ ἐξουθένημα λαοῦ.

Πάντες οἱ θεωροῦντές με ἐξεμυκτήρισάν με. ἐλάλησαν ἐν χείλεσιν. ἐκίνησαν τὴν κεφαλήν, ἤλπισεν ἐπὶ κύριον ῥυσάσθω αὐτόν, σωσάτω αὐτόν, ὅτι θέλει αὐτόν.

Ὅτι σὺ εἶ ὁ ἐκσπάσας με ἐκ γαστρός. ἡ ἐλπίς μου ἀπὸ μαστῶν τῆς μητρός μου.

Ἐπὶ σὲ ἐρρίφην ἐκ μήτρας. ἀπὸ γαστρὸς μητρός μου θεός μου εἶ σύ.

Ὅτι θλίψις ἐγγύς. ὅτι οὐκ ἔστιν ὁ βοηθῶν με.

Περιεκύκλωσάν με μόσχοι πολλοί. ταῦροι πίονες περιέσχον με.

Ἤνοιξαν ἐπ' ἐμὲ τὸ στόμα αὐτῶν ὡς λέων ἁρπάζων καὶ ὠρυόμενος.

Ὡς ὕδωρ ἐξεχύθην. καὶ διεσκορπίσθη τὰ ὀστᾶ μου.

eos.

Ad te clamauerunt & saluati sunt. in te sperauerunt & non sunt confusi.

Ego autem sum uermis & non homo. obprobrium hominum. & abiectio plebis.

Omnes uidentes me subsannauerunt me. locuti sunt in labiis. & mouerunt caput.

Sperauit in dominum liberet eum. saluet eum quoniam uult eum.

Quoniã tu es euellens me ex uentre. spes mei ab huberibus matris mei.

In te abiectus sum ex uulua. a uentre matris mei deus mei es tu.

Quoniã tribulatio prope. quoniã non est adiuuans me.

Circuierunt me uituli multi. tauri pingues obsederunt me.

Aperuerunt super me os eorum. sicut leo rapiens & rugiens.

Sicut aqua effusus sum. & dissipata sunt ossa mei.

ἐγενήθη ἡ καρδία μου ὡσεὶ κη-
ρὸς τηκόμενος. ἐν μέσῳ τῆς
κοιλίας μου.
ἐξηράνθη ὡς ὄστρακον ἡ ἰσχύς
μου. καὶ ἡ γλῶσσά μου κεκόλ-
ληται τῷ λάρυγγί μου. καὶ εἰς
χοῦν θανάτου κατήγαγές με.
ὅτι ἐκύκλωσάν με κύνες πολ-
λοί. συναγωγὴ πονηρευομέ-
νων περιέσχον με.
ὤρυξαν χεῖράς μου καὶ πόδας
μου. ἐξηρίθμησαν πάντα τὰ ὀ-
στᾶ μου.
αὐτοὶ δὲ κατενόησαν καὶ ἐπεῖδόν
με. διεμερίσαντο τὰ ἱμάτιά
μου ἑαυτοῖς. καὶ ἐπὶ τὸν ἱματι-
σμόν μου ἔβαλον κλῆρον.
σὺ δὲ κύριε μὴ μακρύνῃς τὴν
βοήθειάν σου ἀπ' ἐμοῦ. εἰς τὴν
ἀντίληψίν μου πρόσχες.
ῥῦσαι ἀπὸ ῥομφαίας τὴν ψυ-
χήν μου. καὶ ἐκ χειρὸς κυνῶν
τὴν μονογενῆ μου.
σῶσόν με ἐκ στόματος λέοντος
καὶ ἀπὸ κεράτων τῶν μονο-
κερώτων τὴν ταπείνωσίν
μου.
διηγήσομαι τὸ ὄνομά σου τοῖς
ἀδελφοῖς μου. ἐν μέσῳ ἐκκλη

Factum est cor mei tanquam ce-
ra liquescens. in medio
uentris mei.
Aruit tanquam testa uirtus
mei. et lingua mei adhæ-
sit fauci mei. et in
puluerem mortis deduxisti me.
Quoniam circuierunt me canes mul
ti. concilium malignan-
tium obsederunt me.
Foderunt manus mei et pedes
mei: dinumerauerunt omnia os-
sa mei.
Ipsi aũt cõsiderauerũt & ĩspexerũt
me. diuiserunt uestimenta
mei sibi. & super ue-
stem mei miserunt sortem.
Tu autem domine ne elongaueris
auxilium tui a me. in
defensionem mei intende.
Libera a framea ani-
mam mei: & ex manu canum
unicam mei.
Salua me ex ore leonis.
& a cornibus unicor-
nium humilitatem
mei.
Narrabo nomen tui
fratribus mei. in medio concio-

σίας ὑμνήσω σε.
Οἱ φοβούμενοι τὸν κύριον αἰνέ-
σατε αὐτόν. ἅπαν τὸ σπέρμα
ἰακὼβ δοξάσατε αὐτόν.
φοβηθήτω δὴ ἀπ' αὐτοῦ ἅπαν
τὸ σπέρμα ἰσραήλ. ὅτι οὐκ ἐξ-
ουδένωσεν οὐδὲ προσώχθισε
τῇ δεήσει τοῦ πτωχοῦ.
Οὐδὲ ἀπέστρεψε τὸ πρόσωπον
αὐτοῦ ἀπ' ἐμοῦ. καὶ ἐν τῷ
κεκραγέναι με πρὸς αὐτὸν εἰσ-
ήκουσέ μου.
Παρὰ σοῦ ὁ ἔπαινός μου ἐν ἐκ-
κλησίᾳ μεγάλῃ ἐξομολογήσο-
μαί σοι. τὰς εὐχάς μου ἀποδώ-
σω ἐνώπιον τῶν φοβουμέ-
νων αὐτόν.
φάγονται πένητες καὶ ἐμπλησ-
θήσονται. καὶ αἰνέσουσι κύριον
οἱ ζητοῦντες αὐτόν. ζήσονται
αἱ καρδίαι αὐτῶν εἰς αἰῶνα αἰ-
ῶνος.
Μνησθήσονται καὶ ἀποστραφή-
σονται πρὸς κύριον πάντα τὰ
πέρατα τῆς γῆς.
Καὶ προσκυνήσουσιν ἐνώπιον
αὐτοῦ πᾶσαι αἱ πατριαὶ τῶν
ἐθνῶν.
Ὅτι τοῦ κυρίου ἡ βασιλεία. καὶ

nis laudabo te.
Timentes dominum lauda-
te eum. uniuersum sæmen
Iacob glorificate eum.
Timeat ab eo uniuersum
sæmen israel. quoniam non spre-
uit neq; despexit
deprecationem pauperis.
Neq; auertit faciem
eius a me. & in
clamare me ad eum exau-
diuit mei.
A te laus mei: in ec-
clesia magna confite-
bor tibi. uota mei red-
dam coram timenti-
bus eum.
Edent pauperes & satura-
buntur. & laudabunt dominum
quærentes eum. uiuent
corda eorum in sæculum sæ-
culi.
Reminiscentur & conuerten-
tur ad dominum omnes
fines terræ.
Et adorabunt coram
eo omnes familiæ
gentium.
Quoniam domini regnum. &

αὐτὸς δεσπόζει τῶν ἐθνῶν.
ἔφαγον καὶ προσεκύνησαν πάν-
τες οἱ πίονες τῆς γῆς. ἐνώπιον
αὐτοῦ προπεσοῦνται πάντες
οἱ καταβαίνοντες εἰς γῆν.
Καὶ ἡ ψυχή μου αὐτῷ ζῆ. καὶ
τὸ σπέρμα μου δουλεύσει
αὐτῷ.
Ἀναγγελήσεται τῷ κυρίῳ γενεὰ
ἡ ἐρχομένη. καὶ ἀναγγελοῦσι
τὴν δικαιοσύνην αὐτοῦ λαῷ
τεχθησομένῳ ὃν ἐποίησεν ὁ
κύριος.

ipse dominatur gentium.
Comederunt & adorauerunt o-
mnes pingues terræ. coram e-
o procident omnes
descendentes in terram.
Et anima mei ei uiuit. &
sæmen mei seruiet
ei.
Annuntiabitur domino generatio
ueniens. & annuntiabunt
iusticiam eius populo
nascituro quem fecit
dominus.

Ψαλμὸς τῷ Δαυίδ.

Psalmus dauid.

Κ ύριος ποιμαίνει με καὶ
οὐδέν με ὑστερήσει.
εἰς τόπον χλόης
ἐκεῖ με κατεσκήνωσε.
ἐπὶ ὕδατος ἀναπαύσεως ἐξ-
έθρεψέ με. τὴν ψυχήν μου ἐ-
πέστρεψεν.
Ὡδήγησέ με ἐπὶ τρίβους δι-
καιοσύνης. ἕνεκεν τοῦ ὀνόμα-
τος αὐτοῦ.
ἐὰν γὰρ καὶ πορευθῶ ἐν μέσῳ
σκιᾶς θανάτου. οὐ φοβηθήσο-
μαι κακά, ὅτι σὺ μετ᾽ ἐμοῦ.

d ominus regit me: &
nihil me deficiet.
in locum pascuæ
ibi me collocauit.
Super aquam requiei educa
uit me. animam mei con-
uertit.
Deduxit me super semitas iusti-
ciæ. propter no-
men eius.
Si enim ambulauero in medio
umbræ mortis. non time-
bo mala: quoniam tu cum me.

των με.
ἐλίπανας ἐν ἐλαίῳ τὴν κεφα
λήν μου. καὶ τὸ ποτήριόν σου
μεθύσκον με ὡσεὶ κράτιστον.
Καὶ τὸ ἔλεός σου καταδιώξει
με πάσας τὰς ἡμέρας τῆς
ζωῆς μου.
Καὶ τὸ κατοικεῖν με ἐν οἴκῳ κυ
ρίου, εἰς μακρότητα ἡμερῶν

εἰς τὸ τέλος ψαλμὸς τῷ δα
υὶδ τῆς μιᾶς σαββάτου.

Τ οῦ κυρίου ἡ γῆ καὶ
τὸ πλήρωμα αὐτῆς.
ἡ οἰκουμένη καὶ
πάντες οἱ κατοικοῦντες
ἐν αὐτῇ.
Αὐτὸς ἐπὶ θαλασσῶν ἐθεμελί
ωσεν αὐτήν. καὶ ἐπὶ ποταμῶν
ἡτοίμασεν αὐτήν.
Τίς ἀναβήσεται εἰς τὸ ὄρος κυ
ρίου. ἢ τίς στήσεται ἐν τόπῳ ἁ
γίῳ αὐτοῦ.
Ἀθῷος χερσὶ καὶ καθαρὸς καρ-
δίᾳ. ὃς οὐκ ἔλαβεν ἐπὶ ματαί
ῳ τὴν ψυχὴν αὐτοῦ. καὶ οὐκ ὤ-
μοσεν ἐπὶ δόλῳ τῷ πλησίον
αὐτοῦ.

tes me.
Impinguasti in oleo ca-
put mei. & calix tui
inebrians me quam præclarus.
Et misericordia tui subsequetur
me omnes dies
uitæ mei.
Et inhabitare me in domo do-
mini in longitudinem dierum.

In finem psalmus Dauid
unius sabbati.

d omini terra &
plenitudo eius.
orbis &
omnes habitantes
in eo.
Ipse enim super maribus funda-
uit eum. & super flumina
parauit eum.
Quis ascendet in montem do-
mini. aut quis stabit in loco san-
cto eius.
Innocens manibus: & mundus cor
de. qui non accepit in ua-
no animam eius. & non iu-
rauit in dolo proximo
eius.

Οὗτος λήψεται εὐλογίαν πα-
ρὰ κυρίου. καὶ ἐλεημοσύνην
παρὰ θεοῦ σωτῆρος αὐτοῦ.
Αὕτη ἡ γενεὰ ζητούντων τὸν κύ-
ριον. ζητούντων τὸ πρόσωπον
τοῦ θεοῦ ἰακώβ.
Ἄρατε πύλας οἱ ἄρχοντες ὑ-
μῶν, καὶ ἐπάρθητε πύλαι αἰώ-
νιοι καὶ εἰσελεύσεται ὁ βασιλεὺς
τῆς δόξης.
Τίς ἐστὶν οὗτος ὁ βασιλεὺς τῆς
δόξης. κύριος κραταιὸς καὶ δυ-
νατὸς κύριος, δυνατὸς ἐν πο-
λέμῳ.
Ἄρατε πύλας οἱ ἄρχοντες ὑ-
μῶν, καὶ ἐπάρθητε πύλαι αἰώνι-
οι. καὶ εἰσελεύσεται ὁ βασιλεὺς
τῆς δόξης.
Τίς ἐστὶν οὗτος ὁ βασιλεὺς τῆς
δόξης. κύριος τῶν δυνάμεων
αὐτός ἐστιν ὁ βασιλεὺς τῆς
δόξης.

Δό. κάθισμα τρίτον.
Ψαλμὸς τῷ δαυίδ.

Π ρὸς σὲ κύριε ἦρα
τὴν ψυχήν μου.
ὁ θεός μου ἐπὶ σοὶ πε-

Hic accipiet benedictionem
a domino . & misericordiam
a deo salutari eius .
Hæc generatio quærentium do-
minum . quærentium faciem
dei Iacob .
Tollite portas principes ue-
strum . & eleuamini portæ æter-
næ . & introibit rex
gloriæ .
Quis est hic rex
gloriæ . dominus fortis : & po-
tens . potens in bel-
lo .
Tollite portas principes ue-
strum . & eleuamini portæ æter-
næ . & introibit rex
gloriæ .
Quis est hic rex
gloriæ . dominus uirtutum
ipse est rex
gloriæ .

Gloria . sessio tertia .
Psalmus Dauid .

a d te domine leuaui
animam mei .
deus mei in te confi-

ποιθα μὴ καταισχυνθείην εἰς
τὸν αἰῶνα.
Μηδὲ καταγελασάτωσάν με οἱ
ἐχθροί μου. καὶ γὰρ πάντες
οἱ ὑπομένοντές σε οὐ μὴ κα-
ταισχυνθῶσι.
Αἰσχυνθήτωσαν οἱ ἀνομοῦν-
τες διακενῆς.
Τὰς ὁδούς σου κύριε γνώρισόν
μοι. καὶ τὰς τρίβους σου δί-
δαξόν με.
Ὁδήγησόν με ἐπὶ τὴν ἀλήθει-
άν σου, καὶ δίδαξόν με ὅτι σὺ εἶ
ὁ θεὸς σωτήρ μου. καὶ σὲ ὑ-
πέμεινα ὅλην τὴν ἡμέραν.
Μνήσθητι τῶν οἰκτιρμῶν σου
κύριε. καὶ τῶν ἐλεῶν σου ὅτι
ἀπὸ τοῦ αἰῶνός εἰσιν.
Ἁμαρτίας νεότητός μου καὶ ἀ-
γνοίας μου μὴ μνησθῇς.
Κατὰ τὸ ἔλεός σου μνήσθη-
τί μου σύ. ἕνεκεν τῆς χρηστότη-
τός σου κύριε.
Χρηστὸς καὶ εὐθὺς κύριος. δια-
τοῦτο νομοθετήσει ἁμαρτάνον-
τας ἐν ὁδῷ.
Ὁδηγήσει πραεῖς ἐν κρίσει. καὶ
διδάξει πραεῖς ὁδοὺς αὐτοῦ.
Πᾶσαι αἱ ὁδοὶ κυρίου ἔλεος

do non erubescam in
æternum.
Neque irrideant me
inimici mei. & enim omnes
sustinentes te non con-
fundantur.
Confundantur ini-
qui superuacue.
Vias tui domine demonstra-
mihi. & semitas tui do-
ce me.
Deduc me in ueritatem
tui. & doce me quia tu es
deus saluator mei. & te susti-
nui totam diem.
Recordare miserationum tui
doīne. & misericordiarum tui: quoniā
a sæculo sunt.
Delicta iuuentutis mei: & igno-
rantiæ mei ne memineris.
Secundum misericordiā tui memen
to mei tu. propter bonita-
tem tui domine.
Suauis & rectus dominus. propte
rea legem dabit peccanti-
bus in uia.
Deducet mansuetos in iudicio. &
docebit mansuetos uias eius.
Omnes uiæ domini misericordia

καὶ ἀλήθεια. τοῖς ἐκζητοῦσι
τὴν διαθήκην αὐτοῦ καὶ τὰ
μαρτύρια αὐτοῦ.
ἕνεκεν τοῦ ὀνόματός σου κύριε
ἱλάσθητι τῇ ἁμαρτίᾳ μου πολ
λὴ γάρ ἐστι.
Τίς ἐστιν ἄνθρωπος ὁ φοβού-
μενος τὸν κύριον. νομοθετήσει
αὐτῷ ἐν ὁδῷ ᾗ ᾑρετίσατο.
Ἡ ψυχὴ αὐτοῦ ἐν ἀγαθοῖς αὐλισ
θήσεται. καὶ τὸ σπέρμα αὐτοῦ
κληρονομήσει γῆν.
Κραταίωμα κύριος τῶν φοβου
μένων αὐτόν. καὶ ἡ διαθήκη
αὐτοῦ δηλώσει αὐτοῖς.
Οἱ ὀφθαλμοί μου διαπαντὸς
πρὸς τὸν κύριον. ὅτι αὐτὸς ἐκ
σπάσει ἐκ παγίδος τοὺς πό-
δας μου.
Ἐπίβλεψον ἐπ᾽ ἐμὲ καὶ ἐλέη-
σόν με. ὅτι μονογενὴς καὶ
πτωχός εἰμι ἐγώ.
Αἱ θλίψεις τῆς καρδίας μου ἐ-
πληθύνθησαν. ἐκ τῶν ἀναγκῶν
μου ἐξάγαγέ με.
Ἴδε τὴν ταπείνωσίν μου καὶ
τὸν κόπον μου. καὶ ἄφες πά-
σας τὰς ἁμαρτίας μου.
Ἴδε τοὺς ἐχθρούς μου, ὅτι ἐπλη

& ueritas. exquirentibus
testamentum eius. &
testimonia eius.
Propter nomen tui domine
propiciare peccato mei. mul-
tum enim est.
Quis est homo ti-
mens dominum. legem ponet
ei in uia quam elegit.
Anima eius in bonis demora-
bitur. & sæmen eius
hæreditabit terram.
Firmamentum dominus timen-
tium eum. & testamentum
eius declarabit eis.
Oculi mei semper
ad dominum. quoniam ipse euel-
let ex laqueo pe-
des mei.
Respice in me & misera-
re me. quoniam unicus &
pauper sum ego.
Tribulationes cordis mei multipli
catæ sunt. ex necessitatibus
mei educ me.
Vide humilitatem mei &
laborem mei. & dimitte omni-
a peccata mei.
Vide inimicos mei. quoniã multi-

θύνθησαν. καὶ μῖσος ἄδικον ἐ-
μίσησάν με.
φύλαξον τὴν ψυχήν μου καὶ ῥῦ-
σαί με. μὴ καταισχυνθείην ὅ-
τι ἤλπισα ἐπὶ σέ.
ἄκακοι καὶ εὐθεῖς ἐκολλῶντό
μοι. ὅτι ὑπέμεινά σε κύριε.
λύτρωσαι ὁ θεὸς τὸν ἰσραὴλ ἐκ
πασῶν τῶν θλίψεων αὐτοῦ.

Ψαλμὸς τῷ Δαυίδ.

Κρῖνόν με κύριε ὅτι
ἐγὼ ἐν ἀκακίᾳ μου ἐπο-
ρεύθην. καὶ ἐ-
πὶ τῷ κυρίῳ ἐλπίζων οὐ μὴ
ἀσθενήσω.
Δοκίμασόν με κύριε καὶ πείρα-
σόν με. πύρωσον τοὺς νε-
φρούς μου καὶ τὴν καρδίαν
μου.
Ὅτι τὸ ἔλεός σου κατέναντι τῶν
ὀφθαλμῶν μου ἐστί. καὶ εὐηρέ-
στησα ἐν τῇ ἀληθείᾳ σου.
Οὐκ ἐκάθισα μετὰ συνεδρίου
ματαιότητος. καὶ μετὰ πα-
ρανομούντων οὐ μὴ εἰσέλθω.
Ἐμίσησα ἐκκλησίαν πονηρευο-
μένων. καὶ μετὰ ἀσεβῶν οὐ-

plicati sunt. & odiū iniustū ode-
runt me.
Custodi animam mei. & libe
ra me. non confundar quoni-
am speraui in te.
Innocentes & recti adhærebant
mihi. quoniam sustinui te domine.
Libera deus israel ex
omnibus tribulationibus eius.

Psalmus Dauid.

Iudica me domine quoniā
ego in innocentia mei i-
ui. & in
domino sperans non
infirmabor.
Proba me & tem-
pta me. ure re-
nēs mei. & cor
mei.
Quoniam misericordia tui coram
oculis mei est. & compla
cui in ueritate tui.
Non sedi cum concilio
uanitatis & cum im
piis non introibo.
Odiui ecclesiam malignan
tium. & cum impiis

μὴ καθίσω.
Νίψω ἐν ἀθώοις τὰς χεῖρας
μου. καὶ κυκλώσω τὸ θυσιαστή-
ριόν σου κύριε.
Τοῦ ἀκοῦσαί με φωνὴν αἰνέσε-
ως σου. καὶ διηγήσασθαι πάν-
τα τὰ θαυμάσιά σου
Κύριε ἠγάπησα εὐπρέπειαν οἴ-
κου σου. καὶ τόπον σκηνώμα-
τος δόξης σου.
Μὴ συναπολέσῃς μετὰ ἀσεβῶν
τὴν ψυχήν μου. καὶ μετὰ ἀν-
δρῶν αἱμάτων τὴν ζωήν μου.
ὧν ἐν χερσὶν αἱ ἀνομίαι. ἡ δε-
ξιὰ αὐτῶν ἐπλήσθη δώρων.
Ἐγὼ δὲ ἐν ἀκακίᾳ μου ἐπορεύ-
θην. λύτρωσαί με κύριε καὶ
ἐλέησόν με.
Ὁ πούς μου ἔστη ἐν εὐθύτητι.
ἐν ἐκκλησίαις εὐλογήσω σε
κύριε.

non sedebo.
Lauabo in innocentibus manus
mei circundabo alta-
re tui domine.
Audire me uocem lauda-
tionis tui. & narrare omni-
a mirabilia tui.
Domine dilexi decorem do-
mus tui. & locum taberna-
culi gloriæ tui.
Ne perdas cum impioꝝ
animam mei. & cum uiroꝝ
sanguinum uitam mei.
Quoꝝ in manibus iniquitates. de-
xtera eorum plena est munerum.
Ego autem in innocentia mei i-
ui. redime me domine &
miserere mei.
Pes mei stetit in rectitudine.
in contionibus benedicam te
domine.

Ψαλμὸς τῷ δαυὶδ
πρὸ τοῦ χρισθῆναι.

Psalmus Dauid
ante ungui.

κ ύριος φωτι-
σμός μου καὶ
σωτήρ μου.
τίνα φοβηθή-
σομαι;
Κύριος ὑπερασπιστὴς τῆς ζωῆς
μου. ἀπὸ τίνος δειλιάσω;
ἐν τῷ ἐγγίζειν ἐπ' ἐμὲ κακοῦν-
τας τοῦ φαγεῖν τὰς σάρκας
μου.
οἱ θλίβοντές με καὶ οἱ ἐχθροί
μου αὐτοὶ ἠσθένησαν καὶ ἔπε-
σον.
ἐὰν παρατάξηται ἐπ' ἐμὲ παρ
εμβολή. οὐ μὴ φοβηθήσεται
ἡ καρδία μου.
ἐὰν ἐπαναστῇ ἐπ' ἐμὲ πόλε-
μος. ἐν ταύτῃ ἐγὼ ἐλπίζω.
Μίαν ᾐτησάμην παρὰ κυρίου.
ταύτην ἐκζητήσω.
τοῦ κατοικεῖν με ἐν οἴκῳ κυρί-
ου. πάσας τὰς ἡμέρας τῆς
ζωῆς μου.
τοῦ θεωρεῖν με τὴν τερπνότητα
κυρίου. καὶ ἐπισκέπτεσθαι τὸν
ναὸν τὸν ἅγιον αὐτοῦ.
ὅτι ἔκρυψέ με ἐν σκηνῇ αὐτοῦ
ἐν ἡμέρᾳ κακῶν μου ἐσκέπα-
σέ με ἐν ἀποκρύφῳ τῆς σκη-

d ominus illu-
minatio mei: &
saluator mei.
quem time-
bo?
Dominus protector uitæ
mei: a quo trepidabo?
In propinquare aduersum me affli
gentes. comedere carnes
mei.
Tribulantes me: & inimici
mei. ipsi infirmati sunt & ce-
ciderunt.
Si consistant aduersum me ca-
stra. non timebit
cor mei.
Si exurgat aduersum me bel-
lum. in hoc ego spero.
Vnam petii a domino.
hanc requiram.
Inhabitare me in domo domi-
ni. omnes dies
uitæ mei.
Videre me uoluntatem
domini. & uisitare
templum sanctum eius.
Quoniā abscōdit me ī tabernaculo
eius in die malorum mei. prote-
xit me in abscondito taberna

di

νῆς αὐτοῦ.
ἐν πέτρᾳ ὕψωσέ με. καὶ νῦν
ἰδοὺ ὕψωσε κεφαλήν μου ἐπ᾽
ἐχθρούς μου.
ἐκύκλωσα καὶ ἔθυσα ἐν τῇ
σκηνῇ αὐτοῦ. θυσίαν αἰνέσε-
ως καὶ ἀλαλαγμοῦ. ᾄσω καὶ
ψαλῶ τῷ κυρίῳ.
εἰσάκουσον κύριε τῆς φωνῆς
μου ἧ ἐκέκραξα. ἐλέησόν με
καὶ εἰσάκουσόν μου.
Σοὶ εἶπεν ἡ καρδία μου κύριον
ζητήσω ἐξεζήτησέ σε τὸ πρό-
σωπόν μου. τὸ πρόσωπόν σου
κύριε ζητήσω.
Μὴ ἀποστρέψης τὸ πρόσωπόν
σου ἀπ᾽ ἐμοῦ. καὶ μὴ ἐκκλίνης
ἐν ὀργῇ ἀπὸ τοῦ δούλου σου
βοηθός μου γενοῦ μὴ ἀποσκο-
ρακίσης με. καὶ μὴ ἐγκαταλί-
πης με κύριε ὁ θεὸς ὁ σω-
τήρ μου.
Ὅτι ὁ πατήρ μου καὶ ἡ μήτηρ
μου ἐγκατέλιπέ με. ὁ δὲ κύ-
ριος προσελάβετό με.
Νομοθέτησόν με κύριε ἐν τῇ
ὁδῷ σου. καὶ ὁδήγησόν με ἐν
τρίβῳ εὐθείᾳ ἕνεκεν τῶν ἐχ-
θρῶν μου.

culi eius.
In petra exaltauit me. & nunc
ecce exaltauit caput mei su-
per inimicos mei.
Circuiui & immolaui in
tabernaculo eius hostiam lau-
dis & iubilationis. cantabo &
psallam domino.
Exaudi domine uocis
mei qua clamaui. miserare me
& exaudi mei.
Tibi dixit cor mei dominum
quæram quæsiuit te faci-
es mei. faciem tui
domine quæram.
Ne auertas faci-
em tui a me. & ne declines
in ira a seruo tui.
Adiutor mei esto. ne proiici-
as me. & ne derelin-
quas me domine deus sal-
uator mei.
Quoniam pater mei. & mater
mei dereliquit me. sed do-
minus assumpsit me.
Legem pone mihi domine in
uia tui. & deduc me in
semita recta propter ini-
micos mei.

Μὴ παραδῷς με εἰς ψυχὰς
θλιβόντων με, ὅτι ἐπανέστη-
σάν μοι μάρτυρες ἄδικοι, καὶ
ἐψεύσατο ἡ ἀδικία ἑαυτῇ.
Πιστεύω τοῦ ἰδεῖν τὰ ἀγαθὰ
κυρίου ἐν γῇ ζώντων.
Ὑπόμεινον τὸν κύριον ἀνδρί-
ζου, κραταιούσθω ἡ καρδία
σου, καὶ ὑπόμεινον τὸν κύ-
ριον.

Ne tradas me in animas
tribulantium me. quoniam insurre
xerunt mihi testes iniqui &
mentita est iniquitas sibi.
Credo uidere bona
domini in terra uiuentium.
Expecta dominum : uirili-
ter age : confortetur cor
tui. & sustine domi-
num.

Ψαλμὸς τῷ Δαυίδ.

Psalmus Dauid.

π ρὸς σὲ κύριε κεκρά-
ξομαι ὁ θεός μου
μὴ παρασιωπήσῃς
ἀπ᾽ ἐμοῦ μήποτε παρασι-
ωπήσῃς ἀπ᾽ ἐμοῦ, καὶ ὁμοι-
ωθήσομαι τοῖς καταβαίνου-
σιν εἰς λάκκον.
Εἰσάκουσον κύριε τῆς φω-
νῆς τῆς δεήσεώς μου ἐν
τῷ δέεσθαί με πρὸς σέ. ἐν
τῷ αἴρειν με χεῖρας μου
πρὸς ναὸν ἅγιόν σου.
Μὴ συνελκύσῃς με μετὰ ἁ-
μαρτωλῶν. καὶ μετὰ ἐργαζο-
μένων ἀδικίαν μὴ συναπο-
λέσῃς με.

a d te domine cla-
mabo deus mei
ne sileas
a me nequando tace-
as a me. & assimila
bor descendenti
bus in lacum
Exaudi domine uo-
cem deprecationis mei. in-
orare me ad te. in
leuare me manus mei
ad templum sanctum tuum.
Ne simul trahas me cum peccato-
ribus. & cum operanti-
bus iniusticiam ne simul per-
das me.

τῶν λαλούντων εἰρήνην με
τὰ τοῦ πλησίον αὐτῶν. κακὰ
δὲ ἐν ταῖς καρδίαις αὐτῶν.
Δὸς αὐτοῖς κύριε κατὰ τὰ ἔρ-
γα αὐτῶν. καὶ κατὰ τὴν πο-
νηρίαν τῶν ἐπιτηδευμάτων
αὐτῶν.
Κατὰ τὰ ἔργα τῶν χειρῶν αὐ-
τῶν δὸς αὐτοῖς. ἀπόδος τὸ
ἀνταπόδομα αὐτῶν αὐ-
τοῖς.
Ὅτι οὐ συνῆκαν εἰς τὰ ἔργα κυ-
ρίου. καὶ εἰς ἔργα τῶν χειρῶν
αὐτοῦ. καθελεῖς αὐτοὺς καὶ
οὐ μὴ οἰκοδομήσεις αὐτούς.
Εὐλογητὸς κύριος ὅτι εἰσήκου
σε τῆς φωνῆς τῆς δεήσεως
μου.
Κύριος βοηθός μου καὶ ὑπερα
σπιστής μου. ἐπ᾽ αὐτῷ ἤλπισεν
ἡ καρδία μου καὶ ἐβοηθήθην.
Καὶ ἀνέθαλεν ἡ σάρξ μου. καὶ
ἐκ θελήματός μου ἐξομολο
γήσομαι αὐτῷ.
Κύριος κραταίωμα τοῦ λαοῦ
αὐτοῦ. καὶ ὑπερασπιστὴς τῶν
σωτηρίων τοῦ χριστοῦ αὐ-
τοῦ ἐστίν.
Σῶσον κύριε τὸν λαόν σου.

Loquentibus pacem
cum proximo eorum. mala
autem in cordibus eorum.
Da illis dominè ſecundum ope-
ra eorum. & ſecundum nequi-
ciam adinuentionum
eorum.
Secundum opera manuum eo-
rum da illis. redde
retributionem eorum e-
is.
Quoniã nõ intellexerunt ĩ op̃a do
mini. & in opera manuum
eius deſtrues eos. &
non ædificabis eos.
Benedictus dominus quoniã exau
diuit uocis deprecationis
mei.
Dominus adiutor mei & prote-
ctor mei. in ipſo ſperauit
cor mei. & adiutus ſum.
Et refloruit caro mei. &
ex uoluntate mei confite-
bor ei.
Dominus fortitudo plebis
eius. & protector
ſalutarium chriſti e-
ius eſt.
Salua domine populum tui.

καὶ εὐλόγησον τὴν κληρονο-
μίαν σου.

Ψαλμὸς τῷ Δα-
υὶδ ἐξοδίου σκηνῆς. κη.

ε νέγκατε τῷ κυρίῳ
υἱοὶ θεοῦ ἐνέγκατε
τῷ κυρίῳ υἱοὺς
κριῶν.
ἐνέγκατε τῷ κυρίῳ δόξαν
καὶ τιμήν. ἐνέγκατε τῷ κυ-
ρίῳ δόξαν ὀνόματι αὐτοῦ.
προσκυνήσατε τῷ κυρίῳ
ἐν αὐλῇ ἁγίᾳ αὐτοῦ.
φωνὴ κυρίου ἐπὶ τῶν ὑδά-
των. ὁ κύριος τῆς δόξης ἐ-
βρόντησε. κύριος ἐπὶ ὑδά-
των πολλῶν.
φωνὴ κυρίου ἐν ἰσχύϊ. φωνὴ
κυρίου ἐν μεγαλοπρεπείᾳ.
φωνὴ κυρίου συντρίβοντος
κέδρους. καὶ συντρίψει κύ-
ριος τὰς κέδρους τοῦ λιβά-
νου.
Καὶ λεπτυνεῖ αὐτὰς ὡς τὸν
μόσχον τοῦ λιβάνου. καὶ ὁ ἠ-
γαπημένος ὡς υἱὸς μονοκε-
ρώτων.

& benedic hæredita-
tem tuam.

Psalmus Da-
uid exitus tabernaculi. . . xxuiii.

a fferte domino
filii dei. afferte
domino filios
arietum.
Afferte domino gloriam
& honorem. afferte do-
mino gloriam nomini eius.
adorate domino
in atrio sancto eius.
Vox domini super a-
quas. dominus gloriæ into-
nuit. dominus super a-
quas multas.
Vox domini in uirtute. uox
domini in magnificentia.
Vox domini confringentis
cedros. & confringet domi-
nus cedros liba-
ni.
Et comminuet eas ut
uitulum libani. & dile-
ctus quemadmodum filius unicor-
nium.

φωνὴ κυρίου διακόπτοντος
φλόγα πυρός. φωνὴ κυρίου
συσσείοντος ἔρημον. καὶ συσ-
σείσει κύριος τὴν ἔρημον καδ-
δῆς.
φωνὴ κυρίου καταρτιζομένη ἐ-
λάφους καὶ ἀποκαλύψει
δρυμούς. καὶ ἐν τῷ ναῷ αὐ-
τοῦ πᾶς τις λέγει δόξαν.
Κύριος τὸν κατακλυσμὸν
κατοικιεῖ. καὶ καθιεῖται κύ-
ριος βασιλεὺς εἰς τὸν αἰῶ-
να.
Κύριος ἰσχὺν τῷ λαῷ αὐ-
τοῦ δώσει. κύριος εὐλογή-
σει τὸν λαὸν αὐτοῦ ἐν εἰρή-
νῃ.

Vox domini intercidentis
flamam ignis. uox domini
concutientis deſertum. & concu-
tiet dominus deſertum cad-
des.
Vox domini præparans cer-
uos & reuelabit
ſiluas: & in templo e-
ius omnis dicit gloriam.
Dominus diluuium
inhabitare faciet. & ſedebit do-
minus rex in æter-
num.
Dominus uirtutem populo ſu-
o dabit. dominus benedi-
cet populum eius in pa-
ce.

Εἰς τὸ τέλος ψαλμὸς
ᾠδῆς τοῦ ἐγκαινισμοῦ
τοῦ οἴκου τοῦ θεοῦ.

In finem pſalmus
cantici dedicationis
domus dei.

Ὑψώσω σε κύριε
ὅτι ὑπελά-
βεσμε. καὶ οὐκ εὔφρανας
τοὺς ἐχθρούς μου ἐπ' ἐμέ.
Κύριε ὁ θεός μου ἐκέκραξα
πρός σε καὶ ἰάσω με.
Κύριε ἀνήγαγες ἐξ ᾅδου τὴν

Exaltabo te domine
quoniam ſuſcepi-
ſti me. & non lætificaſti
inimicos mei ſuper me.
Domine deus mei clamaui
ad te. & ſanaſti me.
Domine deduxiſti ex inferno

ψυχὴν μου. ἔσωσάς με ἀπὸ
τῶν καταβαινόντων εἰς λάκ-
κον.
Ψάλατε τῷ κυρίῳ οἱ ὅσιοι αὐ-
τοῦ. καὶ ἐξομολογεῖσθε τῇ
μνήμῃ τῆς ἁγιωσύνης αὐ-
τοῦ.
Ὅτι ὀργὴ ἐν τῷ θυμῷ αὐτοῦ.
καὶ ζωὴ ἐν τῷ θελήματι αὐ-
τοῦ.
Τὸ ἑσπέρας αὐλισθήσεται
κλαυθμός. καὶ εἰς τὸ πρωὶ ἀ-
γαλλίασις.
Ἐγὼ δὲ εἶπα ἐν τῇ εὐθηνίᾳ
μου. οὐ μὴ σαλευθῶ εἰς τὸν
αἰῶνα.
Κύριε ἐν τῷ θελήματί μου.
παρέσχου τῷ κάλλει μου δύ-
ναμιν.
Ἀπέστρεψας δὲ τὸ πρόσωπόν
σου ἀπ᾽ ἐμοῦ. καὶ ἐγενήθην τετα-
ραγμένος.
Πρὸς σὲ κύριε κεκράξομαι.
καὶ πρὸς τὸν θεόν μου δε-
ηθήσομαι.
Τίς ὠφέλεια ἐν τῷ αἵματί
μου. ἐν τῷ καταβαίνειν με
εἰς διαφθοράν.
Μὴ ἐξομολογήσεταί σοι χοῦς.

animam mei. saluasti me a
descendentium in la-
cum.
Psallite domino sancti e-
ius. et confitemini
memoriæ sanctitatis e-
ius.
Quoniam ira in indignatione eius
& uita in uoluntate e-
ius.
Vesperi demorabitur
fletus. & in mane læti-
cia.
Ego autem dixi in abundantia
mei. non mouear in
sæculum.
Domine in uoluntate mei.
præbuisti decori mei
uirtutem.
Auertisti autem faciem
tui a me. & factus sum contur-
batus.
Ad te domine clamabo
& ad deum mei depre-
cabor.
Quæ utilitas in sanguine
mei. in descendere me
in interitum.
Num confitebitur tibi puluis?

ἢ ἀναγγελεῖ τὴν ἀλήθειάν σου;
ἤκουσε κύριος καὶ ἠλέησέ με.
κύριος ἐγενήθη βοηθός μου.
ἔστρεψας τὸν κοπετόν μου
εἰς χαράν μοι· διέρρηξας
τὸν σάκκον μου καὶ περιέ-
ζωσάς με εὐφροσύνην.
ὅπως ἂν ψάλλῃ σοι ἡ δόξα
μου, καὶ οὐ μὴ κατανυγῶ.
κύριε ὁ θεός μου εἰς τὸν αἰ-
ῶνα ἐξομολογήσομαί σοι.

εἰς τέλος ψαλμὸς τῷ Δα-
υὶδ ἐκστάσεως.

Ἐ πὶ σοί κύριε ἤλ-
πισα μὴ καταισχυν-
θείην εἰς τὸν αἰῶνα.
ἐν τῇ δικαιοσύνῃ σου
ῥῦσαί με καὶ ἐξελοῦ με.
Κλῖνον πρός με τὸ οὖς σου. τά-
χυνον τοῦ ἐξελέσθαι με.
Γενοῦ μοι εἰς θεὸν ὑπερασπι-
στὴν καὶ εἰς οἶκον καταφυγῆς
τοῦ σῶσαί με.
ὅτι κραταίωμά μου καὶ κατα-
φυγή μου εἶ σύ. καὶ ἕνεκεν
τοῦ ὀνόματός σου ὁδηγή-
σεις με καὶ διαθρέψεις με.

aut annuntiabit ueritatem tui?
Audiuit dominus. & miseratus ē me
dominus fuit adiutor mei.
Conuertisti planctum mei
in gaudium mihi. dirupisti
saccum mei & circuncin-
xisti me læticiam.
Vt cantet tibi gloria
mei. & non compungar
domine deus mei in æter-
num confitebor tibi.

In finem psalmus Da-
uid. ex statione.

i n te domine spe-
raui non confun-
dar in æternum.
in iusticia tui
libera me. & eripe me.
Inclina ad me aurem tui. cele-
ra eripere me.
Esto mihi in deum protecto-
rem. & in domum refugii
saluare me.
Quoniā firmamentū mei & refu
gium mei es tu. & propter
nomen tui dedu-
ces me. & enutries me.

ἐξάξεις με ἐκ παγίδος ταύ-
της ἧς ἔκρυψάν μοι· ὅτι σὺ εἶ
ὁ ὑπερασπιστής μου.
εἰς χεῖρας σου παραθήσομαι
τὸ πνεῦμά μου, ἐλυτρώσω
με κύριε ὁ θεὸς τῆς ἀληθείας.
ἐμίσησας τοὺς διαφυλάσσον-
τας ματαιότητας διακενῆς.
ἐγὼ δὲ ἐπὶ τῷ κυρίῳ ἤλπισα
ἀγαλλιάσομαι καὶ εὐφρανθή-
σομαι ἐπὶ τῷ ἐλέει σου.
ὅτι ἐπεῖδες ἐπὶ τὴν ταπείνω-
σίν μου· ἔσωσας ἐκ τῶν ἀναγ-
κῶν τὴν ψυχήν μου.
Καὶ οὐ συνέκλεισάς με εἰς
χεῖρας ἐχθρῶν· ἔστησας ἐν εὐ-
ρυχώρῳ τοὺς πόδας μου.
ἐλέησόν με κύριε ὅτι θλίβο-
μαι· ἐταράχθη ἐν θυμῷ ὁ ὀ-
φθαλμός μου· ἡ ψυχή μου
καὶ ἡ γαστήρ μου.
ὅτι ἐξέλιπεν ἐν ὀδύνῃ ἡ ζωή
μου· καὶ τὰ ἔτη μου ἐν στε-
ναγμοῖς.
ἠσθένησεν ἐν πτωχείᾳ ἡ ἰσ-
χύς μου· καὶ τὰ ὀστᾶ μου ἐ-
ταράχθησαν.
Παρὰ πάντας τοὺς ἐχθρούς
μου ἐγενήθην ὄνειδος, καὶ

Educes me ex laqueo
hoc cuius abscōderūt mihi. quoniā
tu es protector mei.
In manus tui commendabo
spiritum mei. redemisti
me domine deus ueritatis.
Odisti obseruan-
tes uanitates superuacue.
Ego autem in domino speraui,
exultabo & læta-
bor in misericordia tui.
Quoniam respexisti in humili-
tatem mei. saluasti ex necessi-
tatibus animam mei:
Et non conclusisti me in
manus inimicorum. statuisti in
spatioso pedes mei.
Miserare me domine quoniā tribu
lor. turbatus est in furore ocu-
lus mei. anima mei-
& uenter mei.
Quoniam defecit in dolore uita
mei. & anni mei in gemi
tibus.
Infirmata est in mendicitate uir
tus mei. & ossa mei turba-
ta sunt.
Præter omnes inimicos
mei factus sum obprobrium. &

τοῖς γείτοσί μου σφόδρα, καὶ
φόβος τοῖς γνωστοῖς μου.
Οἱ θεωροῦντές με ἔξω ἔφυ-
γον ἀπ' ἐμοῦ. ἐπελήσθην ὡσ-
εὶ νεκρὸς ἀπὸ καρδίας.
Ἐγενήθην ὡσεὶ σκεῦος ἀπολω-
λός. ὅτι ἤκουσα ψόγον
πολλῶν παροικούντων κυ-
κλόθεν.
Ἐν τῷ συναχθῆναι αὐτοὺς ἅ-
μα ἐπ' ἐμέ, τοῦ λαβεῖν τὴν
ψυχήν μου ἐβουλεύσαντο.
Ἐγὼ δὲ ἐπὶ σοὶ κύριε ἤλπι-
σα εἶπα σὺ εἶ ὁ θεός μου.
ἐν ταῖς χερσί σου οἱ κλῆροί
μου.
Ῥῦσαί με ἐκ χειρὸς ἐχθρῶν
μου, καὶ ἐκ τῶν καταδιω-
κόντων με.
Ἐπίφανον τὸ πρόσωπόν σου
ἐπὶ τὸν δοῦλόν σου, σῶσόν με
ἐν τῷ ἐλέει σου. κύριε μὴ κα-
ταισχυνθείην ὅτι ἐπεκαλε-
σάμην σε.
Αἰσχυνθείησαν ἀσεβεῖς καὶ
καταχθείησαν εἰς ᾅδου. ἄ-
λαλα γενηθήτω τὰ χείλη
τὰ δόλια.
Τὰ λαλοῦντα κατὰ τοῦ δι-

uicinis mei ualde. &
timor notis mei.
Videntes me extra fuge-
runt a me. obliuioni fui tan-
quam mortuus a corde.
Fui tanquam uas perdi-
tum. quoniā audiui uituperationē
multorum habitantium cir
cum.
In congregari eos
simul aduersum me. accipere
animam mei cogitauerunt.
Ego autem in te domine spera
ui. dixi tu es deus mei.
in manibus tui sortes
mei.
Libera me ex manu inimicorum
mei. & ex persequen
tium me.
Illustra faciem tui
super seruum tui. salua me
in misericordia tui. doīne nō con-
fundar quoniam inuoca-
ui te.
Erubescant impii &
deducantur in inferni. mu
ta fiat labia
dolosa.
Loquentia aduersus iu

| | |
|---|---|
| καίου ἀνομίαν ἐν ὑπερηφα | stum iniquitatem in super- |
| νίᾳ καὶ ἐξουδενώσει. | bia & despectione |
| ὡσ πολὺ τὸ πλῆθος τῆς χρη | Quã multa multitudo dulce- |
| στότητός σου κύριε. ἧς ἔκρυ | dinis tui domine. cuius abscon- |
| ψας τοῖς φοβουμένοις σε. | disti timentibus te. |
| ἐξειργάσω τοῖς ἐλπίζουσιν ἐ | Perfecisti sperantibus |
| πὶ σοὶ. ἐναντίον τῶν υἱῶν | in te. coram filiorum |
| τῶν ἀνθρώπων. | hominum. |
| Κατακρύψεις αὐτοὺς ἐν ἀ | Abscondes eos in ab- |
| ποκρύφῳ τοῦ προσώπου | scondito faciei |
| σου. ἀπὸ ταραχῆς ἀνθρώ | tui. a conturbatione homi- |
| πων. | num. |
| Σκεπάσεις αὐτοὺς ἐν σκηνῇ σοῦ | Proteges eos in tabernaculo tui |
| ἀπὸ ἀντιλογίας γλωσσῶν. | a contradictione linguarum. |
| Εὐλογητὸς κύριος ὅτι ἐθαυμά | Benedictus dominus quoniã miri- |
| στωσε τὸ ἔλεος αὐτοῦ ἐν πό | ficauit misericordiam eius in |
| λει περιοχῆς. | ciuitate munitionis. |
| ἐγὼ δὲ εἶπα ἐν τῇ ἐκστάσει | Ego autem dixi in stupore |
| μου. ἀπέρριμμαι ἀπὸ προσώ | mei. proiectus sum a fa- |
| που τῶν ὀφθαλμῶν σου. | ciei oculorum tui. |
| Διατοῦτο εἰσήκουσας τῆς | Propterea exaudisti |
| φωνῆς τῆς δεήσεώς μου. | uocis deprecationis mei |
| ἐν τῷ κεκραγέναι πρός σε. | in clamasse ad te. |
| Ἀγαπήσατε τὸν κύριον πάν- | Diligite dominum o- |
| τες οἱ ὅσιοι αὐτοῦ, ὅτι ἀλη- | mnes sancti eius: quoniam ueri- |
| θείας ἐκζητεῖ κύριος, καὶ | tates requirit dominus. & |
| ἀνταποδίδωσι τοῖς περισ- | retribuit abundan- |
| σῶς ποιοῦσιν ὑπερηφανίαν. | ter facientibus superbiam. |
| Ἀνδρίζεσθε, καὶ κραταιούσ- | Viriliter agite: & conforte- |

θω ἡ καρδία ὑμῶν. πάντες
οἱ ἐλπίζοντες ἐπὶ κύριον.

Ψαλμὸς τῷ Δαυὶδ εἰς σύ-
νεσιν.

Μ ακάριοι ὧν ἀφέ-
θησαν αἱ ἀνομίαι.
καὶ ὧν ἐπεκαλύφθησαν
αἱ ἁμαρτίαι.
Μακάριος ἀνὴρ ᾧ οὐ μὴ λογίση-
ται κύριος ἁμαρτίαν. οὐδὲ ἔ-
στιν ἐν τῷ στόματι αὐτοῦ δό-
λος.
Ὅτι ἐσίγησα ἐπαλαιώθη τὰ ὀσ-
τᾶ μου. ἀπὸ τοῦ κράζειν με
ὅλην τὴν ἡμέραν.
Ὅτι ἡμέρας καὶ νυκτὸς ἐβαρύν-
θη ἐπ' ἐμὲ ἡ χείρ σου. ἐστράφην
εἰς ταλαιπωρίαν ἐν τῷ ἐμ-
παγῆναι μοι ἄκανθαν.
Τὴν ἀνομίαν μου ἐγνώρισα.
καὶ τὴν ἁμαρτίαν μου οὐκ ἐ-
κάλυψα.
Εἶπα ἐξαγορεύσω κατ' ἐμοῦ
τὴν ἀνομίαν μου τῷ κυρίῳ.
καὶ σὺ ἀφῆκας τὴν ἀσέβει-
αν τῆς καρδίας μου.
Ὑπὲρ ταύτης προσεύξεται

tur cor uestrum. omnes
sperantes in dominum.

Psalmus David in intel-
lectum.

b eati quorum di-
missæ sunt iniquitates.
& quorum tecta sunt
peccata.
Beatus uir cui non imputa-
bit dominus peccatum. neq;
est in ore eius do-
lus.
Quoniam tacui inueterauerunt of-
sa mei. a clamare me
totam diem.
Quoniam die ac nocte graua-
uata est sup̄ me manus tui. cōuer-
sus sum in ærumnam in infi-
gi mihi spinam.
Iniquitatem mei notificaui.
& peccatum mei non
texi.
Dixi confitebor aduersum me
iniquitatem mei domino.
& tu dimisisti impieta-
tem cordis mei.
Pro hac orabit

πρὸς σὲ πᾶς ὅσιος ἐν καιρῷ
εὐθέτῳ.
Πλὴν ἐν κατακλυσμῷ ὑδά-
των πολλῶν. πρὸς αὐτὸν οὐκ
ἐγγιοῦσι.
Σύ μου εἶ καταφυγὴ ἀπὸ θλί-
ψεως τῆς περιεχούσης με, τὸ
ἀγαλλίαμά μου λύτρωσαί με
ἀπὸ τῶν κυκλωσάντων με.
Συνετιῶ σε καὶ συμβιβῶ σε ἐν
ὁδῷ ταύτῃ ᾗ πορεύσῃ. ἐπιστη-
ριῶ ἐπὶ σὲ τοὺς ὀφθαλμοὺς
μου.
Μὴ γίνεσθε ὡς ἵππος καὶ ἡμίο-
νος. οἷς οὐκ ἔστι σύνεσις.
ἐν κημῷ καὶ χαλινῷ τὰς σιαγό-
νας αὐτῶν ἄγξαις. τῶν μὴ ἐγ-
γιζόντων πρὸς σέ.
Πολλαὶ αἱ μάστιγες τοῦ ἁμαρτω-
λοῦ. τὸν δὲ ἐλπίζοντα ἐπὶ κύ-
ριον ἔλεος κυκλώσει.
Εὐφράνθητε ἐπὶ κύριον καὶ ἀγαλ-
λιᾶσθε δίκαιοι. καὶ καυχᾶσ-
θε πάντες οἱ εὐθεῖς τῇ καρδί-
ᾳ. δό. κάθ. δ.

ψαλμὸς τῷ Δαυὶδ ἀνεπίγρα-
φος παρ' ἑβραίοις.

ad te omnis sanctus in tempore
opportuno.
Veruntamen in diluuio aqua-
rum multarum. ad ipsum non
appropinquabunt.
Tu mei es refugium a tribula-
tione circundante me.
exultatio mei redime me
a circundantium me.
Erudiam te. & instruam te in
uia hac qua gradieris. fir-
mabo super te oculos
mei.
Ne sitis ut equus & mu-
lus. quibus non est intellectus.
In camo & fræno maxil-
las eorum cōstringes. non appro-
pinquantium ad te.
Multa flagella peccato-
ris. sed sperantem in do-
minum misericordia circundabit.
Lætamini in dominum & exulta-
te iusti. & gloriami-
ni omnes recti cor-
de. gloria. Sessio quarta.

Psalmus Dauid sine titu-
lo apud hebræos.

ἀ  γαλλιᾶσθε δίκαιοι
ἐν κυρίῳ.
τοῖς εὐθέσι πρέπει αἴνεσις.
ἐξομολογεῖσθε τῷ κυρίῳ ἐν κιθά-
ρᾳ. ἐν ψαλτηρίῳ δεκαχόρδῳ
ψάλατε αὐτῷ.
ᾄσατε αὐτῷ ᾆσμα καινόν. κα-
λῶς ψάλατε αὐτῷ ἐν ἀλαλα-
γμῷ.
ὅτι εὐθὺς ὁ λόγος τοῦ κυρίου.
καὶ πάντα τὰ ἔργα αὐτοῦ ἐν
πίστει.
ἀγαπᾷ ἐλεημοσύνην καὶ κρίσιν
ὁ κύριος. τοῦ ἐλέους κυρίου
πλήρης ἡ γῆ.
τῷ λόγῳ κυρίου οἱ οὐρανοὶ ἐστε-
ρεώθησαν. καὶ τῷ πνεύματι
τοῦ στόματος αὐτοῦ πᾶσα ἡ
δύναμις αὐτοῦ.
συνάγων ὡσεὶ ἀσκὸν ὕδατα
θαλάσσης. τιθεὶς ἐν θησαυρῷ
ἀβύσσους.
φοβηθήτω τὸν κύριον πᾶσα ἡ
γῆ. ἀπ᾽ αὐτοῦ δὲ σαλευθήτω-
σαν πάντες οἱ κατοικοῦντες
τὴν γῆν.
ὅτι αὐτὸς εἶπε καὶ ἐγενήθησαν.
αὐτὸς ἐνετείλατο καὶ ἐκτίσ-
θησαν.

e  xultate iusti
in domino.
rectis decet laudatio.
Confitemini domino in citha-
ra. in psalterio decachordo
psallite ei.
Cantate ei canticum nouum. be-
ne psallite ei in iubi-
latione.
Quoniam rectū uerbum domini.
& omnia opera eius in
fide.
Diligit misericordiam & iudicium
dominus misericordiæ domini
plena terra.
Verbo domini cæli firma-
ti sunt. & spiritu
oris eius omnis
uirtus eius.
Congregans sicut utrem aquas
maris. ponens in thesauro
abyssos.
Timeat dominum omnis
terra. ab eo autem commoue-
antur omnes habitantes
terram.
Quia ipse dixit & facta sunt.
ipse mandauit & crea-
ta sunt.

Κύριος διασκεδάζει βουλὰς
ἐθνῶν. ἀθετεῖ δὲ λογισμοὺς
λαῶν. καὶ ἀθετεῖ βουλὰς
ἀρχόντων.
Ἡ δὲ βουλὴ τοῦ κυρίου εἰς τὸν
αἰῶνα μένει. λογισμοὶ τῆς
καρδίας αὐτοῦ εἰς γενεὰν
καὶ γενεάν.
Μακάριον τὸ ἔθνος οὗ ἐστι κύ-
ριος ὁ θεὸς αὐτοῦ. λαὸς ὃν ἐξε-
λέξατο εἰς κληρονομίαν ἑ-
αυτῷ.
Ἐξ οὐρανοῦ ἐπέβλεψεν ὁ κύριος.
εἶδε πάντας τοὺς υἱοὺς τῶν
ἀνθρώπων.
Ἐξ ἑτοίμου κατοικητηρίου αὐ-
τοῦ. ἐπέβλεψεν ἐπὶ πάντας
τοὺς κατοικοῦντας τὴν γῆν.
Ὁ πλάσας καταμόνας τὰς
καρδίας αὐτῶν. ὁ συνιεὶς εἰς
πάντα τὰ ἔργα αὐτῶν.
Οὐ σώζεται βασιλεὺς διὰ πολ-
λὴν δύναμιν. καὶ γίγας οὐ σω-
θήσεται ἐν πλήθει ἰσχύος αὐ-
τοῦ.
Ψευδὴς ἵππος εἰς σωτηρίαν. ἐν
δὲ πλήθει δυνάμεως αὐτοῦ
οὐ σωθήσεται.
Ἰδοὺ οἱ ὀφθαλμοὶ κυρίου ἐπὶ

Dominus dissipat consilia
gentiũ. reprobat aũt cogitationes
populorum & reprobat
consilia principum.
Sed consilium domini in
æternum manet. cogitationes
cordis eius in generationem
& generationem.
Beata gens cuius est do-
minus deus eius. populus quẽ ele-
git in hæreditatem si-
bi.
Ex cælo respexit dominus.
uidit omnes filios
hominum.
Ex parato habitaculo e-
ius. respexit super omnes
habitantes terram.
Fingens singillatim
corda eoꝝ. intelligens in
omnia opera eorum.
Non saluatur rex per mul
tam uirtutem. & gigas non salua-
bitur in multitudine uirtutis e
ius.
Fallax equus in salutem. in
autem multitudine uirtutis eius
non saluabitur.
Ecce oculi domini super

τοὺς φοβουμένους αὐτὸν.
τοῖς ἐλπίζουσιν ἐπὶ τὸ ἔλεος
αὐτοῦ.
ῥύσασθαι ἐκ θανάτου τὰς ψυ-
χὰς αὐτῶν. καὶ διαθρέψαι
αὐτοὺς ἐν λιμῷ.
Ἡ δὲ ψυχὴ ἡμῶν ὑπομένει τῷ
κυρίῳ. ὅτι βοηθὸς καὶ ὑπερα-
σπιστὴς ἡμῶν ἐστίν.
Ὅτι ἐν αὐτῷ εὐφρανθήσεται
ἡ καρδία ἡμῶν. καὶ ἐν τῷ ὀ-
νόματι τῷ ἁγίῳ αὐτοῦ ἠλπί-
σαμεν.
Γένοιτο κύριε τὸ ἔλεός σου ἐφ' ἡ-
μᾶς. καθάπερ ἠλπίσαμεν ἐ-
πὶ σέ.

Ψαλμὸς τῷ Δαυὶδ
ὁπότε ἠλλοίωσε τὸ πρόσω-
πον αὐτοῦ ἐναντίον Ἀβιμέ-
λεχ καὶ ἀπέλυσεν αὐτὸν καὶ
ἀπῆλθε.

ἐ υλογήσω τὸν κύριον
ἐν παντὶ καιρῷ.
Διαπαντὸς ἡ αἴνεσις
αὐτοῦ ἐν τῷ στόματί μου.
Ἐν τῷ κυρίῳ ἐπαινεθήσεται ἡ
ψυχή μου. ἀκουσάτωσαν πρα-

timentes eum.
ſperantibus in miſericordiam
eius.
Eruere ex morte ani-
mas eorum. & alere
eos in fame.
Sed anima noſtrum ſuſtinet
domino. quoniam adiutor & pro-
tector noſtrum eſt.
Quoniam in eo lætabitur
cor noſtrum: & in no-
mine ſancto eius ſpera-
uimus.
Fiat domine miſericordia tui ſuper
nos. quemadmodum ſperauimus
in te.

Pſalmus Dauid
quando mutauit faci-
em eius coram Abime-
lech. & dimiſit eum. &
abiit.

b enedicam dominum
in omni tempore.
ſemper laudatio
eius in ore mei.
In domino laudabitur
anima mei. audiant man-

πραεῖς καὶ εὐφρανθήτωσαν.
Μεγαλύνατε τὸν κύριον σὺν ἐ-
μοί. καὶ ὑψώσωμεν τὸ ὄνομα
αὐτοῦ ἐπὶ τὸ αὐτό.
Ἐξεζήτησα τὸν κύριον καὶ ἐ-
πήκουσέ μου· καὶ ἐκ πασῶν
τῶν θλίψεών μου ἐρρύσατό
με.
Προσέλθετε πρὸς αὐτὸν καὶ
φωτίσθητε. καὶ τὰ πρόσωπα
ὑμῶν οὐ μὴ καταισχυνθῇ.
Οὗτος ὁ πτωχὸς ἐκέκραξε καὶ
ὁ κύριος εἰσήκουσεν αὐτοῦ.
καὶ ἐκ πασῶν τῶν θλίψεων
αὐτοῦ ἔσωσεν αὐτόν.
Παρεμβαλεῖ ἄγγελος κυρίου κύ-
κλῳ τῶν φοβουμένων αὐτόν.
καὶ ῥύσεται αὐτούς.
Γεύσασθε καὶ ἴδετε ὅτι χρη-
στὸς ὁ κύριος. μακάριος ἀνὴρ
ὃς ἐλπίζει ἐπ᾽ αὐτόν.
Φοβήθητε τὸν κύριον πάντες
οἱ ἅγιοι αὐτοῦ. ὅτι οὐκ ἔστιν ὑ-
στέρημα τοῖς φοβουμένοις αὐ-
τόν.
Πλούσιοι ἐπτώχευσαν καὶ ἐπεί-
νασαν. οἱ δὲ ἐκζητοῦντες τὸν
κύριον οὐκ ἐλαττωθήσονται
παντὸς ἀγαθοῦ.

sueti & lætentur.
Magnificate dominum cum
me. & exaltemus nomen
eius in idipsum.
Exquisiui dominum & exau
diuit mei. & ex omnium
tribulationum mei libera
uit me.
Accedite ad eum &
illuminamini. & facies
uestrum non confundantur.
Hic pauper clamauit. &
dominus exaudiuit eius.
& ex omnium tribulationum
eius saluauit eum.
Immittitur angelus domini cir-
cum timentium eum.
& liberabit eos.
Gustate & uidete quoniam sua-
uis dominus. beatus uir
qui sperat in eum.
Timete dominum omnes
sancti eius. quoniam non est ino-
pia timentibus e-
um.
Diuites eguerunt & esuri-
erunt. sed exquirentes
dominum non minuentur
omnis boni.

Δεῦτε τέκνα ἀκούσατέ μου.
φόβον κυρίου διδάξω ὑμᾶς.
τίς ἐστιν ἄνθρωπος ὁ θέλων
ζωήν, ἀγαπῶν ἡμέρας ἰδεῖν
ἀγαθάς.
Παῦσον τὴν γλῶσσάν σου ἀπὸ
κακοῦ. καὶ χείλη σου τοῦ μὴ
λαλῆσαι δόλον.
Ἔκκλινον ἀπὸ κακοῦ καὶ ποίη-
σον ἀγαθόν. ζήτησον εἰρήνην
καὶ δίωξον αὐτήν.
Οἱ ὀφθαλμοὶ κυρίου ἐπὶ δι-
καίους. καὶ ὦτα αὐτοῦ εἰς
δέησιν αὐτῶν.
Πρόσωπον δὲ κυρίου ἐπὶ
ποιοῦντας κακά. τοῦ ἐξο-
λοθρεῦσαι ἐκ τῆς γῆς τὸ
μνημόσυνον αὐτῶν.
Ἐκέκραξαν οἱ δίκαιοι καὶ ὁ
κύριος εἰσήκουσεν αὐτῶν. καὶ
ἐκ πασῶν τῶν θλίψεων αὐ-
τῶν ἐρρύσατο αὐτούς.
Ἐγγὺς κύριος τοῖς συντετριμ-
μένοις τῇ καρδίᾳ. καὶ τοὺς
ταπεινοὺς τῷ πνεύματι σώ-
σει.
Πολλαὶ αἱ θλίψεις τῶν δικαί-
ων. καὶ ἐκ πασῶν αὐτῶν ῥύσε-
ται αὐτοὺς ὁ κύριος.

Venite filii audite mei.
timorem domini docebo uos.
Quis est homo uolens
uitam. diligens dies uidere
bonas.
Cohibe linguam tui a
malo. & labia tui non
loqui dolum.
Declina a malo: &
fac bonum. quære pacem
& sequere eam.
Oculi domini super iu-
stos. & aures eius in
precem eorum.
Vultus autem domini super
facientes mala. per-
dere ex terra
memoriale eorum.
Clamauerunt iusti. &
dominus exaudiuit eorum. &
ex omnium tribulantium eo-
rum liberauit eos.
Prope dominus contri-
tis corde. &
humiles spiritu sal
uabit.
Multæ tribulationes iustorum.
& ex omnium earum libera-
bit eos dominus

φυλάσσει κύριος πάντα τὰ
ὀστᾶ αὐτῶν. ἓν ἐξ αὐτῶν οὐ
συντριβήσεται.
θάνατος ἁμαρτωλῶν πονη-
ρὸς. καὶ οἱ μισοῦντες τὸν δί-
καιον πλημμελήσουσι.
λυτρώσεται κύριος ψυχὰς
δούλων αὐτοῦ. καὶ οὐ μὴ
πλημμελήσουσι πάντες οἱ
ἐλπίζοντες ἐπ' αὐτόν.

ψαλμὸς τῷ δαυίδ.

Δίκασον κύριε
τοὺς ἀδικοῦντάς με.
πολέμησον τοὺς πολεμοῦν-
τάς με.
ἐπιλαβοῦ ὅπλου καὶ θυρεοῦ.
καὶ ἀνάστηθι εἰς τὴν βοήθει-
άν μου.
ἔκχεον ῥομφαίαν καὶ σύγκλει-
σον ἐξεναντίας τῶν καταδι-
ωκόντων με. εἶπον τῇ ψυχῇ
μου σωτηρία σου εἰμὶ ἐγώ.
αἰσχυνθήτωσαν καὶ ἐντραπή-
τωσαν οἱ ζητοῦντες τὴν ψυ-
χήν μου.
ἀποστραφήτωσαν εἰς τὰ ὀπί-
σω καὶ καταισχυνθήτωσαν.

Custodit dominus omnia
ossa eorum. unum ex eorum non
conteretur.
Mors peccatorum ne-
quam. & odientes iu-
stum delinquent.
Redimet dominus animas
seruorum eius. & non
delinquent omnes
sperantes in eum.

Psalmus Dauid.

Iudica domine
nocentes me.
expugna impugnan-
tes me.
Apræhende arma & scuti.
& exurge in adiuto-
rium mei.
Effunde frameam. & conclu-
de aduersus persequen-
tium me. dic animæ
mei salus tui sum ego.
Confundantur & uereantur-
tur quærentes ani-
mam mei.
Auertantur in re-
tro & erubescant.

οἱ λογιζόμενοί μοι κακά.
Γενηθήτωσαν ὡσεὶ χνοῦς κα-
τὰ πρόσωπον ἀνέμου. καὶ
ἄγγελος κυρίου ἐκθλίβων αὐ-
τούς.
Γενηθήτω ἡ ὁδὸς αὐτῶν σκό-
τος καὶ ὀλίσθημα. καὶ ἄγγελος
κυρίου καταδιώκων αὐτούς.
Ὅτι δωρεὰν ἔκρυψάν μοι δια-
φθορὰν παγίδος αὐτῶν. μά-
την ὠνείδισαν τὴν ψυχήν
μου.
Ἐλθέτω αὐτῷ παγὶς ἣν οὐ γι-
νώσκει. καὶ ἡ θήρα ἣν ἔκρυψε
συλλαβέτω αὐτόν. καὶ ἐν τῇ πα-
γίδι πεσεῖται ἐν αὐτῇ.
Ἡ δὲ ψυχή μου ἀγαλλιάσεται ἐ-
πὶ τῷ κυρίῳ. τερφθήσεται ἐ-
πὶ τῷ σωτηρίῳ αὐτοῦ.
Πάντα τὰ ὀστᾶ μου ἐροῦσι. κύ-
ριε κύριε τίς ὅμοιός σοι;
Ῥυόμενος πτωχὸν ἐκ χειρὸς
στερεωτέρων αὐτοῦ. καὶ πτω-
χὸν καὶ πένητα ἀπὸ τῶν διαρ-
παζόντων αὐτόν.
Ἀναστάντες μοι μάρτυρες ἄ-
δικοι. ἃ οὐκ ἐγίνωσκον ἠρώ-
των με.
Ἀνταπεδίδωσάν μοι πονηρὰ

cogitationes mihi mala.
Fiant tanq̃ puluis an-
te faciem uenti. & 
angelus domini elidens e-
os.
Fiet uia eorum tene-
bra. & lubricum. & angelus
domini perſequens eos.
Quoniã gratis abſcõderũt mihi
interitum laquei eorum. fru-
ſtra exprobrauerunt animam
mei.
Veniat ei laqueus quem non co-
gnoſcit. & captio quam abſcondit
compræhendat eum. & in la-
queo cadet in eo.
Sed anima mei exultabit
in domino. delectabitur
in ſalutari eius.
Omnia oſſa mei dicent. do-
mine quis ſimilis tibi?
Eripiens inopem ex manus
fortiorum eius: & ino-
pem & pauperem a diripien-
tium eum.
Exurgentes mihi teſtes iniu-
ſti quæ non cognoſcebam inter-
rogabant me.
Retribuebant mihi mala

ἀντὶ ἀγαθῶν. καὶ ἀτεκνίαν
τῇ ψυχῇ μου.
ἐγὼ δὲ ἐν τῷ αὐτοὺς παρενο-
χλεῖν. ἐνεδυόμην σάκκον.
Καὶ ἐταπείνουν ἐν νηστείᾳ
τὴν ψυχήν μου. καὶ ἡ προσευ-
χή μου εἰς κόλπον μου ἀπο-
στραφήσεται.
Ὡς πλησίον ὡς ἀδελφὸν ἡμέ-
τερον ὡς εὐηρέστουν.
Ὡς πενθῶν καὶ σκυθρωπάζων
οὕτως ἐταπεινούμην.
Καὶ κατ' ἐμοῦ εὐφράνθησαν
καὶ συνήχθησαν,
Συνήχθησαν ἐπ' ἐμὲ μάστιγες.
καὶ οὐκ ἔγνων.
Διεσχίσθησαν καὶ οὐ κατενύ-
γησαν ἐπείρασάν με, ἐξεμυ-
κτήρισάν με μυκτηρισμόν. ἔβρυ-
ξαν ἐπ' ἐμὲ τοὺς ὀδόντας αὐ-
τῶν.
Κύριε πότε ἐπόψει. ἀποκα-
τάστησον τὴν ψυχήν μου ἀ-
πὸ τῆς κακουργίας αὐτῶν.
ἀπὸ λεόντων τὴν μονογενῆ
μου.
Ἐξομολογήσομαί σοι ἐν ἐκκλη-
σίᾳ πολλῇ. ἐν λαῷ βαρεῖ αἰ-
νέσω σε.

pro bonorum. & sterilitaem
animæ mei.
Ego autem in eos inquie-
tare. induebar cilicium.
Et humiliabam in ieiunio
animam mei. & ora-
tio mei in sinum mei conuer-
tetur.
Quasi proximū. quasi fratrē no
strum. sic complacebam.
Quasi lugens & contristans.
sic humiliabar.
Et aduersum me lætati sunt
& congregati sunt.
Cōgregata sunt super me flagella
& non cognoui.
Discissi sunt: & non compuncti
sunt. temptauerunt me: subsanna
uerunt subsannationem. fremue-
runt super me dentes eo-
rum.
Domine quando respicies. resti-
tue animam mei
a malignitate eorum.
a leonibus unicam
mei.
Confitebor tibi in concio-
ne multa. in populo graui lau-
dabo te.

rapiat. & non sit libe-
rans.
Sacrificium laudis glorificabit me
& illic uia quam ostendam ei
salutare mei.

Ψαλμὸς τῷ Δαυὶδ ἐν τῷ ἐλ-
θεῖν πρὸς αὐτὸν Νάθαν τὸν
προφήτην ἡνίκα εἰσῆλθε πρὸς
Βηρσαβεὲ τὴν γυναῖκα τοῦ
Οὐρίου. Ν.

Psalmus Dauid in ue
nire ad eum Nathan
prophetam quando introiuit ad
Bersabee uxorem
Vriæ. L

ἐ λέησόν με ὁ θεὸς κατὰ
τὸ μέγα ἔλεός σου.
Καὶ κατὰ τὸ πλῆθος τῶν οἰ-
κτιρμῶν σου. ἐξάλειψον τὸ ἀ-
νόμημά μου.
Ἐπὶ πλεῖον πλῦνόν με ἀπὸ τῆς
ἀνομίας μου, καὶ ἀπὸ τῆς ἁ-
μαρτίας μου καθάρισόν με.
Ὅτι τὴν ἀνομίαν μου ἐγὼ γινώσ

m iserare me deus secundum
magnam misericordiã tui.
Et secundũ multitudinem misera-
tionum tui. dele ini-
quitatem mei.
Amplius laua me ab
iniquitate mei. & a pec-
cato mei munda me.
Quoniã iniquitatẽ mei ego cogno

σκω καὶ ἡ ἁμαρτία μου ἐνώ-
πιόν μου ἐστὶ διαπαντός.
Σοὶ μόνῳ ἥμαρτον καὶ τὸ πο-
νηρὸν ἐνώπιόν σου ἐποίησα. ὅ-
πως ἂν δικαιωθῇς ἐν τοῖς λό-
γοις σου καὶ νικήσῃς ἐν τῷ
κρίνεσθαί σε.
Ἰδοὺ γὰρ ἐν ἀνομίαις συνελή-
φθην. καὶ ἐν ἁμαρτίαις ἐκίσ-
σησέ με ἡ μήτηρ μου.
Ἰδοὺ γὰρ ἀλήθειαν ἠγάπησας
τὰ ἄδηλα καὶ τὰ κρύφια
τῆς σοφίας σου ἐδήλωσας
μοι.
Ῥαντιεῖς με ὑσσώπῳ καὶ καθα-
ρισθήσομαι. πλυνεῖς με καὶ
ὑπὲρ χιόνα λευκανθήσομαι.
Ἀκουτιεῖς με ἀγαλλίασιν καὶ
εὐφροσύνην. καὶ ἀγαλλιάσον-
ται ὀστέα τεταπεινωμένα.
Ἀπόστρεψον πρόσωπόν σου
ἀπὸ τῶν ἁμαρτιῶν μου. καὶ
πάσας τὰς ἀνομίας μου ἐξά-
λειψον.
Καρδίαν καθαρὰν κτίσον ἐν ἐ-
μοὶ ὁ θεός. καὶ πνεῦμα εὐθὲς
ἐγκαίνισον ἐν τοῖς ἐγκάτοις
μου.
Μὴ ἀπορρίψῃς με ἀπὸ τοῦ

sco. & peccatum mei co-
ram me est semper.
Tibi soli peccaui. & ma
lum coram te feci.
ut iustificeris in sermo
nibus tui. & uincas in
iudicari te.
Ecce enim in iniquitatibus conce-
ptus sum. & in peccatis conce
pit me mater mea.
Ecce enim ueritatem dilexisti.
incerta & occulta
sapientiæ tui manifestasti
mihi.
Asperges me hyssopo & munda
bor. lauabis me &
super niuem dealbabor.
Docebis me exultationem &
læticiam. & exulta
bunt ossa humiliata
Auerte faciem tui
a peccatis mei. &
omnes iniquitates mei de-
le.
Cor mundum crea in
me deus. & spiritum rectum
innoua in uisceribus
mei.
Ne proicias me a

προσώπου σου. καὶ τὸ πνεῦ-
μά σου τὸ ἅγιον μὴ ἀνταμέ-
λης ἀπ' ἐμοῦ.
Ἀπόδος μοι τὴν ἀγαλλίασιν
τοῦ σωτηρίου σου. καὶ πνεύ-
ματι ἡγεμονικῷ στήριξόν με.
Διδάξω ἀνόμους τὰς ὁδούς
σου. καὶ οἱ ἀσεβεῖς ἐπὶ σὲ ἐπι-
στρέψουσι.
Ῥῦσαί με ἐξ αἱμάτων ὁ θεὸς ὁ
θεὸς τῆς σωτηρίας μου. ἀγαλ-
λιάσεται ἡ γλῶσσά μου τῇ δι-
καιοσύνῃ σου.
Κύριε τὰ χείλη μου ἀνοίξεις.
καὶ τὸ στόμα μου ἀναγγελεῖ
τὴν αἴνεσίν σου.
Ὅτι εἰ ἠθέλησας θυσίαν ἔδωκα
ἄν. ὁλοκαυτώματα οὐκ εὐ-
δοκήσεις.
Θυσία τῷ θεῷ πνεῦμα συν-
τετριμμένον. καρδίαν συντε-
τριμμένην καὶ τεταπεινω-
μένην ὁ θεὸς οὐκ ἐξουδενώ-
σει.
Ἀγάθυνον κύριε ἐν τῇ εὐδοκί-
ᾳ σου τὴν σιών. καὶ οἰκοδομη-
θήτω τὰ τείχη ἱερουσαλήμ.
Τότε εὐδοκήσεις θυσίαν δικαι-
οσύνης ἀναφορὰν καὶ ὁλο

facie tui. & spiri-
tum tui sanctum ne aufe-
ras a me.
Redde mihi exultationem
salutaris tui. & spiri-
tu principali confirma me.
Docebo iniquos uias
tui. & impii ad te conuer-
tent.
Libera me de sanguinibus deus
deus salutis mei. exulta
bit lingua mei iusti
cia tui.
Domine labia mei aperies.
& os mei annuntiabit
laudem tui.
Quoniã si uoluisses sacrificiũ dedi
utiq;. holocausta non su-
scipies.
Sacrificium deo spiritus contri-
bulatus cor contri
tum. & humilia-
tum deus non despi-
ciet.
Benefac domine in beneplaci-
to tui sion. & ædificen
tur muri hierusalem.
Tunc acceptabis sacrificium iusti-
ciæ oblationem. & hola-

καυτώματα. τότε ἀνοίσουσι ἐπὶ τὸ θυσιαστήριόν σου μόσχους.

causta. tunc offerent super altare tui uitulos.

εἰς τέλος συνέσεως τῷ δαυὶδ ἐν τῷ ἐλθεῖν δωὴκ τὸν ἰδουμαῖον καὶ ἀναγγεῖλαι τῷ σαοὺλ καὶ εἰπεῖν αὐτῷ ἀπῆλθε δαυὶδ εἰς οἶκον ἀβιμέλεχ. να.

In finem intellectus Dauid in uenire Doec idumæum & annuntiare Saul & dicere ei abiit Dauid in domum Abimelech. li.

Τί ἐγκαυχᾷ, ἐν κακίᾳ: ὁ δυνατὸς ἀνομίαν.

ὅλην τὴν ἡμέραν ἀδικίαν ἐλογίσατο ἡ γλῶσσά σου. ὡσεὶ ξυρὸν ἠκονημένον ἐποίησας δόλον.

Ἠγάπησας κακίαν ὑπὲρ ἀγαθωσύνην. ἀδικίαν ὑπὲρ τοῦ λαλῆσαι δικαιοσύνην.

Ἠγάπησας πάντα ῥήματα καταποντισμοῦ γλῶσσαν δολίαν.

Διατοῦτο ὁ θεὸς καθελεῖ σε εἰς τέλος ἐκτίλαι σε καὶ μεταναστεύσαι σε ἀπὸ σκηνώματός σου καὶ τὸ ῥίζωμά σου ἐκ τῆς γῆς ζώντων.

Quid gloriaris, in malitia: potens iniquitatem.

Totam diem iniusticiam cogitauit lingua tui. sicut nouacula acuta fecisti dolum.

Dilexisti maliciam super bonitatem. iniusticiam ultra loqui iusticiam.

Dilexisti omnia uerba præcipitationis linguam dolosam.

Propterea deus subuertet te in finem euellet te. & relegabit te a tabernaculo tui. & radicem tui ex terra uiuentium.

ὄψονται δίκαιοι καὶ φοβηθή-
σονται. καὶ ἐπ᾽ αὐτὸν γελάσον
ται.
Καὶ ἐροῦσιν ἰδοὺ ἄνθρωπος
ὃς οὐκ ἔθετο τὸν θεὸν βοηθὸν
αὐτοῦ.
Ἀλλ᾽ ἐπήλπισεν ἐπὶ τῷ πλή
θει τοῦ πλούτου αὐτοῦ. καὶ ἐνε
δυναμώθη ἐν τῇ ματαιότητι
αὐτοῦ·
ἐγὼ δὲ ὡσεὶ ἐλαία κατάκαρ-
πος ἐν τῷ οἴκῳ τοῦ θεοῦ. ἤλ
πισα ἐπὶ τὸ ἔλεος τοῦ θεοῦ
εἰς τὸν αἰῶνα.
Καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος
ἐξομολογήσομαί σοι εἰς τὸν
αἰῶνα ὅτι ἐποίησας.
Καὶ ὑπομενῶ τὸ ὄνομά σου ὅ-
τι χρηστὸν ἐναντίον τῶν ὁσί-
ων σου.

εἰς τέλος ὑπὲρ μαελὲθ συνέ-
σεως τῷ Δαυίδ. νβ.

ε ἶπεν ἄφρων ἐν καρδίᾳ
αὐτοῦ οὐκ ἔστι θεός.
Διεφθάρησαν καὶ ἐβδελύχθη-
σαν ἐν ἀνομίαις. οὐκ ἔστι ποι-
ῶν ἀγαθόν.

Videbunt iusti & time
bunt. & super eum ride-
bunt.
Et dicent ecce homo
qui non posuit deum adiutorem
eius.
Sed sperauit in multitudine
diuitiarum eius. & inua-
luit in uanitate
eius.
Ego autem sicut oliua fructi-
fera in domo dei. spe
raui in misericordiam dei
in æternum.
Et in sæculum sæculi
confitebor tibi in
sæculum quoniam fecisti.
Et expectabo nomen tui quo-
niam bonum est coram san
ctis tui.

In finem Maeleth intel-
lectus Dauid. . lii.

d ixit insipiens in corde
eius non est deus
Corrupti sunt. & abominabiles
facti sunt in iniquitatibus. nō ē fa
ciens bonum.

Ὁ θεὸς ἐκ τοῦ οὐρανοῦ διέκυψε
ἐπὶ τοὺς υἱοὺς τῶν ἀνθρώπων
τοῦ ἰδεῖν εἰ ἔστι συνιῶν ἢ ἐκ-
ζητῶν τὸν θεόν.
Πάντες ἐξέκλιναν ἅμα ἠχρει-
ώθησαν. οὐκ ἔστι ποιῶν ἀγα-
θὸν οὐκ ἔστιν ἕως ἑνός.
Οὐχὶ γνώσονται πάντες οἱ ἐρ-
γαζόμενοι τὴν ἀνομίαν. οἱ κα-
τεσθίοντες τὸν λαόν μου ἐν
βρώσει ἄρτου.
Τὸν θεὸν οὐκ ἐπεκαλέσαντο. ἐ-
κεῖ ἐφοβήθησαν φόβον οὗ
οὐκ ἦν φόβος.
Ὅτι ὁ θεὸς διεσκόρπισεν ὀστᾶ
ἀνθρωπαρέσκων. κατῃσχύνθη-
σαν ὅτι ὁ θεὸς ἐξουδένωσεν
αὐτούς.
Τίς δώσει ἐκ Σιὼν τὸ σωτήρι-
ον τοῦ Ἰσραήλ. ἐν τῷ ἐπιστρέ-
ψαι τὸν θεὸν τὴν αἰχμαλωσί-
αν τοῦ λαοῦ αὐτοῦ. ἀγαλλιά-
σεται Ἰακὼβ καὶ εὐφρανθήσε-
ται Ἰσραήλ.

Εἰς τέλος ἐν ὕμνοις συνέσεως
τῷ Δαυὶδ ἐν τῷ ἐλθεῖν τοὺς
Ζιφαίους καὶ εἰπεῖν τῷ Σαοὺλ
οὐκ ἰδοὺ Δαυὶδ κέκρυπται

Deus de cælo prospexit
super filios hominum
uidere si est intelligens aut ex
quirens deum.
Omnes declinauerunt simul inuti-
les facti sunt. non est faciens bo-
num non est usque unius.
Non cognoscent omnes ope-
rantes iniquitatem. deuoran-
tes plebem mei in
esca panis.
Dominum non inuocauerunt. i
bi timuerunt timorem ubi
non erat timor.
Quoniam deus dissipauit ossa
hominibus placentium. confusi
sunt. quoniam deus spreuit
eos.
Quis dabit ex Sion saluta
re israel. in conuer-
tere deum captiuita-
tem plebis eius. exulta
bit Iacob & lætabi-
tur israel.

In finem in hymnis intellectus
Dauid in uenire
Ziphæos. & dicere Sauli
nonne ecce dauid latuit

Ὁ θεὸς ἐν τῷ ὀνόματί σου
σῶσόν με. καὶ ἐν τῇ δυ-
νάμει σου κρινεῖς με.
Ὁ θεὸς εἰσάκουσον τῆς προσευ-
χῆς μου. ἐνώτισαι τὰ ῥήμα-
τα τοῦ στόματός μου.
Ὅτι ἀλλότριοι ἐπανέστησαν ἐ-
π᾽ ἐμὲ καὶ κραταιοὶ ἐζήτησαν
τὴν ψυχήν μου. καὶ οὐ προέ-
θεντο τὸν θεὸν ἐνώπιον αὐ-
τῶν.
Ἰδοὺ γὰρ ὁ θεὸς βοηθεῖ μοι. καὶ
ὁ κύριος ἀντιλήπτωρ τῆς ψυ-
χῆς μου.
Ἀποστρέψει τὰ κακὰ τοῖς ἐχ-
θροῖς μου. ἐν τῇ ἀληθείᾳ σου
ἐξολόθρευσον αὐτούς.
Ἑκουσίως θύσω σοι ἐξομολο-
γήσομαι τῷ ὀνόματί σου κύ-
ριε ὅτι ἀγαθόν.
Ὅτι ἐκ πάσης θλίψεως ἐρρύ-
σω με. καὶ ἐν τοῖς ἐχθροῖς
μου ἐπεῖδεν ὁ ὀφθαλμός
μου.

Σύνεσις τῷ ἀσάφ. .μδ.



Deus in nomine tui
salua me. & in uirtu-
te tui iudicabis me.
Deus exaudi oratio-
nis mei. percipe uer-
ba oris mei.
Quoniam alieni insurrexerunt ad
uersum me. & fortes quæsierunt
animam mei. & non propo
suerunt deum coram e-
is.
Ecce enim deus adiuuat me. &
dominus susceptor ani-
mæ mei.
Auertet mala ini
micis mei. in ueritate tui.
disperde eos.
Voluntarie sacrificabo tibi confi-
tebor nomini tui do
mine quoniam bonum.
Quoniã ex omni tribulatione eri-
puisti me. & inter inimicos
mei despexit oculus
mei.

Intellectus Asaph. liiii.

ε    ἰσάκουσον ὁ θεὸς τῆς
    προσευχῆς μου καὶ μὴ
ὑπερίδῃς τὴν
δέησίν μου. πρόσχες μοι
καὶ εἰσάκουσόν μου.
ἐλυπήθην ἐν τῇ ἀδολεσχίᾳ
μου καὶ ἐταράχθην. ἀπὸ
φωνῆς ἐχθροῦ καὶ ἀπὸ θλί-
ψεως ἁμαρτωλοῦ.
Ὅτι ἐξέκλιναν ἐπ᾽ ἐμὲ ἀνομί-
ας καὶ ἐν ὀργῇ ἐνεκότουν
μοι.
Ἡ καρδία μου ἐταράχθη ἐν ἐ-
μοί. καὶ δειλία θανάτου ἐπέ-
πεσεν ἐπ᾽ ἐμέ.
φόβος καὶ τρόμος ἦλθον ἐπ᾽ ἐ-
μέ. καὶ ἐκάλυψέ με σκότος.
Καὶ εἶπα τίς δώσει μοι πτέρυ-
γας ὡς περιστερᾶς. καὶ πε-
τασθήσομαι καὶ καταπαύσω.
Ἰδοὺ ἐμάκρυνα φυγαδεύων.
καὶ ηὐλίσθην ἐν τῇ ἐρήμῳ.
Προσεδεχόμην τὸν θεὸν τὸν σώ-
ζοντά με. ἀπὸ ὀλιγοψυχίας
καὶ ἀπὸ καταιγίδος.
Καταπόντισον κύριε καὶ κατα-
δίελε τὰς γλώσσας αὐτῶν. ὅ-
τι εἶδον ἀνομίαν καὶ ἀντιλογί-
αν ἐν τῇ πόλει.

e    xaudi deus
    orationis mei. & ne
despicias
deprecationem mei. intende mihi
& exaudi mei.
Contristatus sum in exercitatione
mei. & turbatus sum a
uoce inimici: & a tribula-
tione peccatoris.
Quoniam declinauerunt ĩ me ini
quitates & in ira irascebantur
mihi.
Cor mei turbatum est in
me. & formido mortis ceci-
dit super me.
Timor. & tremor uenerunt sup
me. & cooperuit me tenebra.
Et dixi quis dabit mihi pen-
nas ut columbæ. & uola
bo. & requiescam.
Ecce elongaui fugiens.
& mansi in solitudine.
Expectabam deum saluan-
tem me a pusillanimitate
& tempestate.
Præcipita domine & diui
de linguas eorum. quo-
niam uidi iniquitatem. & contra-
dictionem in ciuitate.

Ἡμέρας καὶ νυκτὸς κυκλώσει
αὐτὴν ἐπὶ τὰ τείχη αὐτῆς, καὶ
ἀνομία καὶ κόπος ἐμ μέσῳ
αὐτῆς καὶ ἀδικία.
Καὶ οὐκ ἐξέλιπεν ἐκ τῶμ πλα-
τειῶμ αὐτῆς τόκος καὶ δό-
λος.
Ὅτι εἰ ὁ ἐχθρός μου ὠνείδισέ με
ὑπήνεγκα ἄν.
Καὶ εἰ ὁ μισῶν με ἐπ' ἐμὲ ἐμε-
γαλορρημόνησεν, ἐκρύβην ἂν
ἀπ' αὐτοῦ.
Σὺ δὲ ἄνθρωπε ἰσόψυχε ἡγε-
μών μου καὶ γνωστέ μου.
Ὃς ἐπιτοαυτὸ ἐγλύκανάς μοι
ἐδέσματα. ἐν τῷ οἴκῳ τοῦ
θεοῦ ἐπορεύθημεν ἐν ὁμονοί-
ᾳ.
Ἐλθέτω δὴ θάνατος ἐπ' αὐ-
τούς. καὶ καταβήτωσαν εἰς
ᾅδου ζῶντες.
Ὅτι πονηρία ἐν ταῖς παροικί-
αις αὐτῶν ἐμ μέσῳ αὐτῶν.
Ἐγὼ πρὸς τὸν θεὸν ἐκέκραξα.
καὶ ὁ κύριος εἰσήκουσέ μου.
Ἑσπέρας καὶ πρωῒ καὶ μεσημ-
βρίας διηγήσομαι καὶ ἀ-
παγγελῶ καὶ εἰσακούσεται
τῆς φωνῆς μου

Die & nocte circundabit
eam super muros eius. &
iniquitas & labor in medio
eius & iniusticia.
Et non defecit ex pla-
teis eius usura & do-
lus.
Quoniam si inimicus mei expro-
brasset me sustinuissem utiq;.
Et si odiēs me super me magna lo-
cutus fuisset. latuissem utiq;
ab eo.
*unanimis*
Tu uero homo aequanimis
dux mei & note mei.
Qui simul dulcorabas mihi
cibos. in domo
dei iuimus in concor-
dia.
Veniat mors super e-
os. & descendant in
infernum uiuentes.
Quoniam nequitia in habita
culis eorum in medio eorum.
Ego ad deum clamaui.
& dominus exaudiuit me.
Vespere & mane & meri-
die narrabo & annuntia-
bo. & exaudiet
uocis mei.

λυτρώσεται ἐν εἰρήνῃ τὴν
ψυχήν μου ἀπὸ τῶν ἐγγιζόν-
των μοι. ὅτι ἐν πολλοῖς
ἦσαν σὺν ἐμοί.
εἰσακούσεται ὁ θεὸς καὶ τα-
πεινώσει αὐτοὺς ὁ ὑπάρχων
πρὸ τῶν αἰώνων.
Οὐ γάρ ἐστιν αὐτοῖς ἀντάλλαγ-
μα ὅτι οὐκ ἐφοβήθησαν
τὸν θεόν. ἐξέτεινε τὴν χεῖρα
αὐτοῦ ἐν τῷ ἀποδιδόναι.
ἐβεβήλωσαν τὴν διαθήκην
αὐτοῦ. διεμερίσθησαν ἀπὸ
ὀργῆς τοῦ προσώπου αὐτοῦ.
καὶ ἤγγισαν αἱ καρδίαι αὐτῶν.
ἡπαλύνθησαν οἱ λόγοι αὐτῶν
ὑπὲρ ἔλαιον. καὶ αὐτοί εἰσι βο-
λίδες.
ἐπίρριψον ἐπὶ κύριον τὴν μέρι-
μνάν σου. καὶ αὐτός σε δια-
θρέψει. οὐ δώσει εἰς τὸν αἰῶ-
να σάλον τῷ δικαίῳ.
σὺ δὲ ὁ θεὸς κατάξεις αὐτοὺς
εἰς φρέαρ διαφθορᾶς.
ἄνδρες αἱμάτων καὶ δολιό-
τητος οὐ μὴ ἡμισεύσωσι
τὰς ἡμέρας αὐτῶν. ἐγὼ δὲ
κύριε ἐλπιῶ ἐπὶ σοί.

Redimet in pace
animam mei ab appropin-
quantibus mihi. quoniã in multis
erant cum me.
Exaudiet deus. & humilia-
bit eos existens
ante sæcula.
Non enim est eis commuta-
tio quoniam non timuerunt
deũ. extendit manum
eius in retribuere.
Contaminauerunt testamentum
eius. diuisi sunt ab
ira uultus eius.
& appropinquauerunt corda eorũ.
Molliti sunt sermones eorum
super oleum. & ipsi sunt ia-
cula.
Iacta in dominum cu-
ram tui. & ipse te enu-
triet. non dabit in æter-
num fluctuationem iusto.
Tu autem deus deduces eos
in puteum interitus.
Viri sanguinum & do-
li non dimidient
dies eorum. ego autem
domine sperabo in te.

Δό. καθ. ζ. εἰς τὸ τέλος ὑπὲρ
τοῦ λαοῦ τοῦ ἀπὸ τῶν ἁγί-
ων μεμακρυμμένου τῷ
Δαυὶδ εἰς στηλογραφίαν, ὁ-
πότε ἐκράτησαν αὐτὸν οἱ
ἀλλόφυλοι ἐν Γέαρ. νε.

Ε λέησόν με ὁ θεὸς
ὅτι κατεπάτησέ με
ἄνθρωπος. ὅλην
τὴν ἡμέραν πολεμῶν ἔθλιψέ
με.
Κατεπάτησάν με οἱ ἐχθροί μου
ὅλην τὴν ἡμέραν. ὅτι πολλοὶ
οἱ πολεμοῦντες με.
Ἀπὸ ὕψους ἡμέρας οὐ φοβη-
θήσομαι. ἐγὼ δὲ ἐλπιῶ ἐπὶ σέ.
Ἐν τῷ θεῷ ἐπαινέσω τοὺς λό-
γους μου. ἐπὶ τῷ θεῷ ἤλπι-
σα οὐ φοβηθήσομαι τί ποιή-
σει μοι σάρξ.
Ὅλην τὴν ἡμέραν τοὺς λόγους
μου ἐβδελύσσοντο. κατ' ἐ-
μοῦ πάντες οἱ διαλογισμοὶ
αὐτῶν εἰς κακόν.
Παροικήσουσι καὶ κατακρύ-
ψουσιν. αὐτοὶ πτέρναν μου
φυλάξουσι.
Καθάπερ ὑπέμειναν τὴν ψυ-

Gloria. Sessio sexta in finem pro
populo a san-
ctis elongato
Dauid in titulum quan
do tenuerunt eum
alienigenæ in Gear. ly.

m iserare me deus
quoniam conculcauit me
homo. totam
diem bellans tribula-
uit me.
Conculcauerunt me inimici mei
totam diem. quoniam multi
impugnantes me.
Ab altitudine diei non ti-
mebo. ego autem sperabo in te.
In deo laudabo ser-
mones mei. ī deo spera-
ui non timebo quid fa
ciat mihi caro.
Totam diem sermones
mei execrabantur aduer
sum me omnes cogitationes
eorum in malum.
Inhabitabunt & abscon
dent. ipsum calcaneum mei
obseruabunt.
Sicut sustinuerunt ani-

χὴν μου, ὑπὲρ μηθενὸς σώσεις
αὐτούς. ἐν ὀργῇ λαοὺς κατά-
ξεις.
Ὁ θεὸς τὴν ζωήν μου ἀνήγγει-
λά σοι. ἔθου τὰ δάκρυά μου
ἐνώπιόν σου.
ὥς καὶ ἐν τῇ ἐπαγγελίᾳ σου. ἐ-
πιστρέψουσιν οἱ ἐχθροί μου
εἰς τὰ ὀπίσω.
ἐν ᾗ ἂν ἡμέρᾳ ἐπικαλέσομαί
σε. ἰδοὺ ἔγνων ὅτι θεός μου
εἶ σύ.
ἐπὶ τῷ θεῷ αἰνέσω ῥῆμα. ἐ-
πὶ τῷ κυρίῳ αἰνέσω λόγον ἐ-
πὶ τῷ θεῷ ἤλπισα οὐ φοβη-
θήσομαι τί ποιήσει μοι ἄν-
θρωπος.
ἐν ἐμοὶ ὁ θεὸς εὐχαὶ ἃς ἀπο-
δώσω αἰνέσεώς σου.
Ὅτι ἐρρύσω τὴν ψυχήν μου
ἐκ θανάτου τοὺς ὀφθαλμούς
μου ἀπὸ δακρύων τοὺς πό-
δας μου ἀπὸ ὀλισθήματος.
εὐαρεστήσω ἐνώπιον κυρίου.
ἐν φωτὶ ζώντων.

εἰς τέλος
μὴ διαφθείρῃς τῷ Δαυὶδ
εἰς στηλογραφίαν ἐν τῷ αὐ-

mam mei. pro nihilo expelles
eos. in ira populos con-
fringes.
Deus uitam mei annuntia
ui tibi. posuisti lacrimas mei
coram te.
Sicut & in promissione tui. conuer
tent inimici mei
in retro.
In quacunque die inuocabo
te. ecce cognoui quoniam deus mei
es tu.
In deo laudabo uerbum.
in domino laudabo sermonem.
in deo speraui. non time-
bo quid faciet mihi ho-
mo.
In me deus uota quæ red-
dam laudis tui.
Quoniam eripuisti animam mei
ex morte. oculos
mei a lacrimis. pe-
des mei a lapsu.
Placebo coram domino.
in lumine uiuentium.

In finem
ne corrumpas dauid
in titulum. in e-

τὸν ἀποδιδράσκειν ἀπὸ
προσώπου σαοὺλ εἰς τὸ σπή-
λαιον. μϛ.

Ἐ λέησόν με ὁ θεὸς
ἐλέησόν με. ὅτι ἐπὶ
σοὶ πέποιθεν ἡ ψυχή μου.
Καὶ ἐν τῇ σκιᾷ τῶν πτερύγων
σου ἐλπιῶ. ἕως οὗ παρέλ-
θῃ ἡ ἀνομία.
Κεκράξομαι πρὸς τὸν θεὸν τὸν
ὕψιστον. τὸν θεὸν εὐεργε-
τήσαντά με.
Ἐξαπέστειλεν ἐξ οὐρανοῦ καὶ
ἔσωσέ με. ἔδωκεν εἰς ὄνει-
δος τοὺς καταπατοῦντάς
με.
Ἐξαπέστειλεν ὁ θεὸς τὸ ἔλεος
αὐτοῦ. καὶ τὴν ἀλήθειαν αὐ-
τοῦ καὶ ἐρρύσατο τὴν ψυ-
χήν μου ἐκ μέσου σκύμνων
ἐκοιμήθην τεταραγμένος.
Υἱοὶ ἀνθρώπων οἱ ὀδόντες αὐ-
τῶν ὅπλα καὶ βέλη. καὶ ἡ
γλῶσσα αὐτῶν μάχαιρα ὀ-
ξεῖα.
Ὑψώθητι ἐπὶ τοὺς οὐρανοὺς
ὁ θεός. καὶ ἐπὶ πᾶσαν τὴν
γῆν ἡ δόξα σου.

um fugere a
facie Saulis in spe-
lunca. . lvi.

M iserare me deus
miserare me. quoniam in
te confidit anima mei.
Et in umbra alarum
tui sperabo. donec transe-
at iniquitas.
Clamabo ad deum
altissimum. deum benefacien
tem me.
Misit de cælo &
saluauit me. dedit in obpro-
brium conculcantes
me.
Misit deus misericordiam
eius. & ueritatem e-
ius & eripuit ani-
mã mei ex medio catuloꝝ leonũ
dormiui turbatus
Filii hominum dentes eo-
rum. arma & sagittę &
lingua eorum gladius a-
cutus.
Exaltare super cælos
deus. & super omnem
terram gloria tui.

ὤρυξαν πρὸ προσώπου μου
βόθρον καὶ ἐνέπεσον εἰς αὐ-
τόν.
ἑτοίμη ἡ καρδία μου ὁ θεὸς ἑ-
τοίμη ἡ καρδία μου. ᾄσομαι
καὶ ψαλῶ ἐν τῇ δόξῃ μου.
ἐξεγέρθητι ἡ δόξα μου ἐξεγέρ-
θητι ψαλτήριον καὶ κιθάρα
ἐξεγερθήσομαι ὄρθρου.
ἐξομολογήσομαί σοι ἐν λαοῖς
κύριε. ψαλῶ σοι ἐν ἔθνεσι.
ὅτι ἐμεγαλώθη ἕως τῶν οὐ-
ρανῶν τὸ ἔλεός σου. καὶ ἕ-
ως τῶν νεφελῶν ἡ ἀλήθειά
σου.
ὑψώθητι ἐπὶ τοὺς οὐρανοὺς
ὁ θεός. καὶ ἐπὶ πᾶσαν τὴν
γῆν ἡ δόξα σου.

εἰς τὸ τέλος μὴ διαφθείρῃς
τῷ δαυὶδ εἰς στηλογρα-
φίαν. νζ.
ἐ ι ἀληθῶς ἄρα
δικαιοσύνην λαλεῖτε
εὐθείας κρίνε-
τε υἱοὶ τῶν ἀνθρώπων.
Καὶ γὰρ ἐν καρδίᾳ ἀνομίαν
ἐργάζεσθε ἐν τῇ γῇ. ἀδικίαν
αἱ χεῖρες ὑμῶν συμπλέκου

Foderunt ante faciem mei
foueam. & inciderunt in e-
am.
Paratum cor mei deus. pa-
ratum cor mei. cantabo
& psallam in gloria mei.
Exurge gloria mei. exur-
ge psalterium & cithara
exurgam diluculo.
Confitebor tibi in populis
domine. psallam tibi in gentibus
Quoniam magnificata est usq; cælo-
rum misericordia tui. & us-
que nubium ueritas
tui.
Exaltare super cælos
deus. & super omnem
terram gloria tui.

In finem ne corrumpas
Dauid in titu-
lum. lvii.
s i uere utique
iusticiam loquimini
æquitates iudi-
cate filii hominum.
Et enim in corde iniquitatem
operamini in terra. iniusticiam
manus uestrum concin-

σιν.

Ἀπηλλοτριώθησαν οἱ ἁμαρτωλοὶ ἀπὸ μήτρας. ἐπλανήθησαν ἀπὸ γαστρός, ἐλάλησαν ψευδῆ.

θυμὸς αὐτοῖς κατὰ τὴν ὁμοίωσιν τοῦ ὄφεως. ὡσεὶ ἀσπίδος κωφῆς καὶ βυούσης τὰ ὦτα αὐτῆς.

Ἥτις οὐκ εἰσακούσεται φωνῆς ἐπᾳδόντων φαρμακοῦ τε. φαρμακευομένη παρὰ σοφοῦ.

Ὁ θεὸς συντρίψει τοὺς ὀδόντας αὐτῶν ἐν τῷ στόματι αὐτῶν. τὰς μύλας τῶν λεόντων συνέθλασεν ὁ κύριος.

ἐξουδενωθήσονται ὡσεὶ ὕδωρ διαπορευόμενον. ἐντενεῖ τὸ τόξον αὐτοῦ ἕως οὗ ἀσθενήσωσιν.

Ὡσεὶ κηρὸς ὁ τακεὶς ἀνταναιρεθήσονται. ἐπέπεσε πῦρ ἐπ᾽ αὐτοὺς καὶ οὐκ εἶδον τὸν ἥλιον.

Πρὸ τοῦ συνιέναι τὰς ἀκάνθας ὑμῶν τὴν ῥάμνον, ὡσεὶ ζῶντας ὡσεὶ ἐν ὀργῇ καταπίεται αὐτούς.

εὐφρανθήσεται δίκαιος ὅταν

nant.

Alienati sunt peccatores a uulua. errauerunt ab utero locuti sunt falsa

Furor illis secundum similitudinem serpentis. sicut aspidis surdæ & obturantis aures eius.

Quæ non exaudiet uocem incantantium ueneficiiq;. incantata a sapiente.

Deus conteret dentes eorum in ore eorum. molas leonum confregit dominus.

Ad nihilum deuenient uelut aqua præteriens. intendit arcum eius donec infirmentur.

Velut cæra liquefacta auferentur. incidit ignis super eos. & non uiderunt solem.

Ante intelligere spinas uestrum rhamnum. sicut uiuentes. sicut in ira absorbebit uos.

Lætabitur iustus cum

ἴδῃ ἐκδίκησιν. τὰς χεῖρας
αὐτοῦ νίψεται ἐν τῷ αἵματι
τοῦ ἁμαρτωλοῦ.
Καὶ ἐρεῖ ἄνθρωπος ἄρα ἐστὶ
καρπὸς τῷ δικαίῳ. ἄρα ἐ-
στὶν ὁ θεὸς κρίνων αὐτοὺς ἐν
τῇ γῇ.

Δό. εἰς τὸ τέλος μὴ
διαφθείρῃς τῷ Δαυὶδ εἰς
στηλογραφίαν, ὁπότε ἀπέστει-
λε σαοὺλ καὶ ἐφύλαξε τὸν οἶ-
κον τοῦ θανατῶσαι αὐτόν. νη.

Ἐ ξελοῦ με ἐκ τῶν
ἐχθρῶν μου ὁ θεός.
καὶ ἐκ τῶν ἐπανιστα-
μένων ἐπ᾿ ἐμὲ λύτρωσαί με.
Ῥῦσαί με ἐκ τῶν ἐργαζομένων
τὴν ἀνομίαν. καὶ ἐξ ἀνδρῶν
αἱμάτων σῶσόν με.
Ὅτι ἰδοὺ ἐθήρευσαν τὴν ψυ-
χήν μου, ἐπέθεντο ἐπ᾿ ἐμὲ
κραταιοί.
Οὔτε ἡ ἀνομία μου οὔτε ἡ ἁ-
μαρτία μου κύριε. ἄνευ ἀνο-
μίας ἔδραμον καὶ κατεύθυνα.
Ἐξεγέρθητι εἰς συνάντησίν
μου καὶ ἴδε. καὶ σὺ κύριε ὁ θε-

uiderit uindictam. manus
eius lauabit in sanguine
peccatoris.
Et dicet homo si utiq; est
fructus iusto. utique
est deus iudicans eos in
terra.

Gloria. In finem ne
corrumpas Dauid in
titulum quando mi-
sit Saul & custodiuit do-
mum occidere eum. lviii

E ripe me ex
inimicis mei deus.
& ex insurgenti-
bus in me libera me.
Eripe me ex operantibus
iniquitatem. & ex uiris
sanguinum salua me.
Quoniam ecce ceperunt ani-
mam mei. irruerunt in me
fortes.
Neq; iniquitas mei neque pecca
tum mei domine. sine iniqui
tate cucurri & direxi.
Exurge in occursum
mei & uide. & tu domine de-

ὸς τῶν δυνάμεων ὁ θεὸς
τοῦ ἰσραήλ.
Πρόσχες τοῦ ἐπισκέψασθαι
πάντα τὰ ἔθνη. μὴ οἰκτειρή-
σῃς πάντας τοὺς ἐργαζομέ-
νους τὴν ἀνομίαν.
Ἐπιστρέψουσιν εἰς ἑσπέραν
καὶ λιμώξουσιν ὡς κύων. καὶ
κυκλώσουσι πόλιν.
Ἰδοὺ αὐτοὶ ἀποφθέγξονται
ἐν τῷ στόματι αὐτῶν. καὶ
ῥομφαία ἐν τοῖς χείλεσιν αὐ-
τῶν ὅτι τίς ἤκουσε.
Καὶ σὺ κύριε ἐκγελάσεις αὐ-
τούς. ἐξουδενώσεις πάντα
τὰ ἔθνη.
Τὸ κράτος μου πρὸς σὲ φυλά-
ξω. ὅτι σὺ ὁ θεὸς ἀντιλήπτωρ
μου εἶ ὁ θεός μου τὸ ἔλε-
ος αὐτοῦ φθάσει με.
Ὁ θεός μου δείξει μοι ἐν τοῖς
ἐχθροῖς μου. μὴ ἀποκτείνῃς
αὐτοὺς μήποτε ἐπιλάθων-
ται τοῦ νόμου σου
Διασκόρπισον αὐτοὺς ἐν τῇ
δυνάμει σου. καὶ κατάγαγε
αὐτοὺς ὁ ὑπερασπιστής μου
κύριε.
Ἁμαρτία στόματος αὐτῶν λό

us uirtutum deus
israel.
Intende uisitare
omnes gentes. non misere
ris omnes operan-
tes iniquitatem.
Conuertentur ad uesperam
& esurient ut canis. &
circuibunt ciuitatem.
Ecce ipsi loquentur
in ore eorum. &
gladius in labiis eo-
rum quoniam quis audiuit.
Et tu domine irridebis e-
os. delebis omnes
gentes.
Fortitudinem mei ad te custodi
am. quoniam tu deus susce-
ptor mei es deus mei misericor
dia eius præueniet me.
Deus mei ostendet mihi in
inimicis mei. ne occidas
eos nequando obliuiscan-
tur legis tui.
Disperde eos in
uirtute tui & depone
eos protector mei
domine.
Peccatum oris eorum ser

γον χειλέων αὐτῶν. καὶ συλ-
ληφθήτωσαν ἐν τῇ ὑπερη-
φανίᾳ αὐτῶν.
Καὶ ἐξ ἀρᾶς καὶ ψεύδους δι-
αγγελήσονται ἐν συντελείᾳ.
ἐν ὀργῇ συντελείας καὶ οὐ-
μὴ ὑπάρξωσι.
Καὶ γνώσονται ὅτι ὁ θεὸς δε-
σπόζει τοῦ ἰακὼβ. καὶ τῶν
περάτων τῆς γῆς.
Ἐπιστρέψουσιν εἰς ἑσπέραν
καὶ λιμώξουσιν ὡς κύων. καὶ
κυκλώσουσι πόλιν.
Αὐτοὶ δὲ διασκορπισθήσον-
ται τοῦ φαγεῖν. ἐὰν δὲ μὴ
χορτασθῶσι καὶ γογγύσουσι.
Ἐγὼ δὲ ᾄσομαι τῇ δυνάμει
σου. καὶ ἀγαλλιάσομαι τὸ
πρωῒ τὸ ἔλεός σου.
Ὅτι ἐγενήθης ἀντιλήπτωρ
μου καὶ καταφυγή μου ἐν ἡ-
μέρᾳ θλίψεώς μου.
Βοηθός μου εἶ σύ ψαλῶ. ὅτι ὁ
θεὸς ἀντιλήπτωρ μου εἶ. ὁ θε-
ός μου τὸ ἔλεός μου.

Εἰς τὸ τέλος τοῖς ἀλλοιωθησο-
μένοις ἔτι εἰς στηλογραφίαν
τῷ δαυὶδ εἰς διδαχήν, ὁ

mo labiorum eorum. & compræ-
hendintur in super-
bia eorum.
Et ex execratione & mẽdacio an-
nunciabuntur in consummatione.
in ira consummationis &
non subsistent.
Et scient quia deus domi
natur iacob. &
finium terræ.
Conuertent in uesperam
& esurient ut canis. &
circuibunt ciuitatem
Ipsi autem dispergen
tur manducare. si autem non
fuerint saturati. & murmurabunt.
Ego autem cantabo potentiæ
tui. & exultabo
mane misericordiam tui.
Quoniam factus es susceptor
mei. & refugium mei in di
ę tribulationis mei.
Adiutor mei es tibi psallã. quoniã
deus susceptor mei es. de-
us mei misericordia mei.

In finem commutan-
dis etiam in titulum
David in doctrinam, quan-

τε ἐνεπύρισε τὴν μεσοποτα
μίαν συρίας καὶ τὴν συρίαν
σωβάλ. καὶ ἐπέστρεψε ἰωὰβ καὶ
ἐπάταξε τὴν φάραγγα τῶν
ἁλῶν. ιβ χιλιάδας. νθ.

ὁ θεὸς ἀπώσω ἡμᾶς.
καὶ καθεῖλες ἡμᾶς.
ὠργίσθης καὶ ᾠκτείρησας ἡμᾶς.
Συνέσεισας τὴν γῆν καὶ συνε-
τάραξας αὐτήν. ἴασαι τὰ
συντρίμματα αὐτῆς, ὅτι ἐ-
σαλεύθη.
ἔδειξας τῷ λαῷ σου σκληρά,
ἐπότισας ἡμᾶς οἶνον κατα-
νύξεως.
ἔδωκας τοῖς φοβουμένοις
σε σημείωσιν τοῦ φυγεῖν ἀ-
πὸ προσώπου τόξου. ὅπως
ἂν ῥυσθῶσιν οἱ ἀγαπητοί σου.
Σῶσον τῇ δεξιᾷ σου καὶ ἐπά-
κουσόν με.
Ὁ θεὸς ἐλάλησεν ἐν τῷ ἁγίῳ
ἀγαλλιάσομαι καὶ διαμεριῶ
σίκιμα. καὶ τὴν κοιλάδα
τῶν σκηνῶν διαμετρήσω.
ἐμός ἐστι γαλαὰδ καὶ ἐμός ἐ-
στι μανασσῆς. καὶ ἐφραὶμ κρα
ταίωσις τῆς κεφαλῆς μου.

do incendit mesopota-
miam Syriæ & syriam
Sobal, & conuertit Ioab &
percussit conuallem
salinaꝝ duodecim milia. lviiii.

d eus repulisti nos
& destruxisti nos.
iratus es & miseratus es nos.
Concussisti terram & contur-
basti eam. sana
contritiones eius quoniam commo
ta est.
Ostendisti populo tui dura.
rigasti nos uino compun
ctionis.
Dedisti metuentibus
te significationem fugere
a facie arcus. ut
liberentur dilecti tui.
Salua dextera tui. & exau-
di me.
Deus locutus est in sancto
exultabo & partibor
sicima. & conuallem
tabernaculorum metiar.
Meus est galaad. & meus
est manasses. & ephraem for-
titudo capitis mei.

ἰούδας βασιλεύς μου. μωὰβ
λέβης τῆς ἐλπίδος μου.
ἐπὶ τὴν ἰδουμαίαν ἐκτενῶ τὸ
ὑπόδημά μου. ἐμοὶ ἀλλόφυ-
λοι ὑπετάγησαν.
τίς ἀπάξει με εἰς πόλιν περιο-
χῆς. ἢ τίς ὁδηγήσει με ἕως
τῆς ἰδουμαίας;
οὐχὶ σὺ ὁ θεὸς ὁ ἀπωσάμενος
ἡμᾶς. καὶ οὐκ ἐξελεύσῃ ὁ θεὸς
ἐν ταῖς δυνάμεσιν ἡμῶν.
δὸς ἡμῖν βοήθειαν ἐκ θλίψεως
καὶ ματαία σωτηρία ἀνθρώ-
που.
ἐν τῷ θεῷ ποιήσομεν δύνα-
μιν. καὶ αὐτὸς ἐξουδενώσει τοὺς
θλίβοντας ἡμᾶς.

Iudas rex mei. Moab
lebes spei mei.
In idumæam extendam
calciamentum mei. mihi alieni
genæ subditi sunt.
Quis abducet me ī ciuitatē circun
stantiæ. aut quis deducet me usq;
idumæam?
Nonne tu deus repellens
nos. & non egredieris deus
in uirtutibus nostrum.
Da nobis auxilium ex tribulatione
& uana salus homi-
nis.
In deo faciemus uirtu-
tem. & ipse delebit
tribulantes nos.

εἰς τὸ τέλος ἐν ὕμνοις τῷ
δαυίδ. ξ.

In finem in hymnis
Dauid. lx.

ἐ ισάκουσον ὁ θεὸς τῆς
δικαιοσύνης μου. προσ-
σχὲς τῇ προσευχῇ μου.
ἀπὸ τῶν περάτων τῆς γῆς πρὸς
σὲ ἐκέκραξα ἐν τῷ ἀκηδιά-
σαι τὴν καρδίαν μου. ἐν πέ-
τρᾳ ὕψωσάς με.
ὡδήγησάς με ὅτι ἐγενήθης ἐλ-

e xaudi deus
iusticiæ mei. inten-
de orationi mei.
A finibus terræ ad
te clamaui in langue-
re cor mei. in pe-
tra exaltasti me.
Deduxisti me quia factus es

πίσ μου. πῦργος ἰσχύος ἀπὸ
προσώπου ἐχθροῦ.
Παροικήσω ἐν τῷ σκηνώματί
σου εἰς τοὺς αἰῶνας. σκεπα-
σθήσομαι ἐν τῇ σκέπῃ τῶν
πτερύγων σου.
Ὅτι σὺ ὁ θεὸς εἰσήκουσας τῶν
εὐχῶν μου. ἔδωκας κληρονο-
μίαν τοῖς φοβουμένοις τὸ ὄ-
νομά σου.
Ἡμέρας ἐφ᾽ ἡμέρας τοῦ βασι-
λέως προσθήσεις. τὰ ἔτη αὐ-
τοῦ ἕωσ ἡμέρας γενεᾶσ καὶ
γενεᾶσ.
Διαμενεῖ εἰσ τὸν αἰῶνα ἐνώ-
πιον τοῦ θεοῦ. ἔλεοσ καὶ ἀ-
λήθειαν αὐτοῦ τίσ ἐκζητή-
σει;
Οὕτωσ ψαλῶ τῷ ὀνόματί σου
εἰσ τοὺσ αἰῶνασ. τοῦ ἀποδοῦ-
ναί με τὰσ εὐχάς μου ἡμέ-
ραν ἐξ ἡμέρασ.

εἰσ τὸ τέλοσ ὑπὲρ ἰδιθοὺν
ψαλμὸσ τῷ δαυίδ. ξα.

ὁ ὐχὶ τῷ θεῷ
ὑποταγήσεται ἡ ψυχή
μου. παρ᾽ αὐτῷ γὰρ τὸ σωτήρι

ſpes mei. turris fortitudinis a
facie inimici.
Inhabitabo in tabernaculo
tui in ſæcula. prote-
gar in tegmine
alarum tui.
Quoniam tu deus exaudiſti
orationem mei. dediſti hæredi-
tatem timentibus
nomen tui.
Dies ſuper dies re-
gis appones. annos e-
ius uſq; diem generationis &
generationis.
Permanebit in æternum co-
ram deo. miſericordiam & ueri-
tatem eius quis exqui-
ret?
Sic pſallam nomini tui
in ſæcula. red-
dere me uota mei di-
e ex die.

In finem pro idithum
pſalmus Dauid. lxi.

n onne deo
ſubiicietur anima mei.
apud eum enim ſalu-

ριόν μου
Καὶ γὰρ αὐτὸς θεός μου καὶ σω-
τήρ μου ἀντιλήπτωρ μου οὐ-
μὴ σαλευθῶ ἐπὶ πλεῖον.
ἕως πότε ἐπιτίθεσθε ἐπ᾽ ἄν-
θρωπον. φονεύετε πάντες
ὑμεῖς ὡς τοίχῳ κεκλιμένῳ.
καὶ φραγμῷ ὠσμένῳ.
Πλὴν τὴν τιμήν μου ἐβουλεύ-
σαντο ἀπώσασθαι. ἔδραμον
ἐν δίψει. τῷ στόματι αὐτῶν
εὐλόγουν. καὶ τῇ καρδίᾳ αὐ-
τῶν κατηρῶντο.
Πλὴν τῷ θεῷ ὑποτάγηθι ἡ
ψυχή μου. ὅτι παρ᾽ αὐτῷ ἡ ὑπο-
μονή μου.
Ὅτι αὐτὸς θεός μου καὶ σωτήρ
μου. ἀντιλήπτωρ μου οὐ μὴ
μεταναστεύσω.
ἐπὶ τῷ θεῷ τὸ σωτήριόν μου
Καὶ ἡ δόξα μου. ὁ θεὸς τῆς βοη-
θείας μου καὶ ἡ ἐλπίς μου ἐ-
πὶ τῷ θεῷ.
Ἐλπίσατε ἐπ᾽ αὐτὸν πᾶσα
συναγωγὴ λαῶν. ἐκχέατε ἐνώ-
πιον αὐτοῦ τὰς καρδίας ὑ-
μῶν, ὅτι ὁ θεὸς βοηθὸς ἡμῶν.
Πλὴν μάταιοι οἱ υἱοὶ τῶν ἀν-
θρώπων. ψευδεῖς οἱ υἱοὶ τῶν

tare meum.
Et enim ipſe deus mei & ſalua-
tor mei ſuſceptor mei
non mouear amplius.
Vſquequo irruitis in homi-
nem. interficitis omnes
uos tanquam parieti inclinato
& maceriæ depulſæ.
Veruntamen precium meum cogita
uerunt repellere. cucurri
in ſiti. ore eorum
benedicebant. & corde e-
orum maledicebant.
Veruntamen deo ſubiecta eſto
anima mei. quoniam apud ipſũ pa-
tientia mei.
Quoniã ipſe deus mei. & ſaluator
mei. ſuſceptor mei non
migrabo.
In deo ſalutare mei
& gloria mei deus auxi-
lii mei & ſpes mei
in deo.
Sperate in eum omnis
cõgregatio populoꝝ. effundite co
ram eo corda ue-
ſtrum quoniã deus adiutor ueſtrũ.
Veruntamen uani filii homi-
num. mendaces filii homi

ἀνθρώπων ἐν ζυγοῖς τοῦ ἀδι-
κῆσαι. αὐτοὶ ἐκ ματαιότητος
ἐπὶ τὸ αὐτό.
Μὴ ἐλπίζετε ἐπ' ἀδικίαν καὶ ἐ-
πὶ ἅρπαγμα, μὴ ἐπιποθεῖτε.
πλοῦτος ἐὰν ῥέῃ μὴ προστί-
θεσθε καρδίαν.
Ἅπαξ ἐλάλησεν ὁ θεός, δύο
ταῦτα ἤκουσα ὅτι τὸ κρά-
τος τοῦ θεοῦ καὶ σοῦ κύριε
τὸ ἔλεος. ὅτι σὺ ἀποδώσεις
ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ.

ψαλμὸς τὸ Δαυίδ ἐν τῷ
εἶναι αὐτὸν ἐν τῇ ἐρήμῳ τῆς
ἰουδαίας. ξβ.

Ὁ θεὸς ὁ θεός μου·
πρὸς σὲ ὀρθρίζω.
ἐδίψησέ σε ἡ ψυχή μου. ποσα-
πλῶς σοι ἡ σάρξ μου.
ἐν γῇ ἐρήμῳ καὶ ἀβάτῳ καὶ ἀ-
νύδρῳ οὕτως ἐν τῷ ἁγίῳ ὤ-
φθην σοι τοῦ ἰδεῖν τὴν δύνα-
μίν σου καὶ τὴν δόξαν σου.
ὅτι κρεῖσσον τὸ ἔλεός σου ὑ-
πὲρ ζωάς. τὰ χείλη μου ἐπαι-
νέσουσί σε.
οὕτως εὐλογήσω σε ἐν τῇ ζωῇ

hominum in libris iniuriam
facere. ipsi ex uanitate
simul.
Non sperate in iniusticiam. &
in rapinam non concupiscite.
diuitiæ si fluant non appo-
nite cor.
Semel locutus est deus. duo
hæc audiui quoniam pote-
stas dei & tui domine
misericordia. quoniam tu reddes
unicuique secundum opera eius.

Psalmus dauid in
esse eum in solitudine
iudææ. lxii.

Deus deus mei
ad te manico.
Sitiuit te anima mei. multipli-
citer tibi caro mei.
In terra deserta & inuia & in a-
quosa sic in sancto appa-
rui tibi uidere uirtu-
tem tui. & gloriam tui.
Quoniã melior misericordia tui su-
per uitas. labia mei lauda-
bunt te.
Sic benedicam te in uita

μου. ἐν τῷ ὀνόματί σου ἀρῶ
τὰς χεῖράς μου.
Ὡς ἐκ στέατος καὶ πιότητος
ἐμπλησθείη ἡ ψυχή μου. καὶ
χείλη ἀγαλλιάσεως αἰνέσει
τὸ στόμα μου.
Εἰ ἐμνημόνευόν σου ἐπὶ τῆς
στρωμνῆς μου. καὶ ἐν τοῖς ὄρ-
θροις ἐμελέτων εἰς σὲ ὅτι ἐγε-
νήθης βοηθός μου.
Καὶ ἐν τῇ σκέπῃ τῶν πτερύγων
σου ἀγαλλιάσομαι. ἐκολλήθη
ἡ ψυχή μου ὀπίσω σου. ἐμοῦ
δὲ ἀντελάβετο ἡ δεξιά σου.
Αὐτοὶ δὲ εἰς μάτην ἐζήτη-
σαν τὴν ψυχήν μου. εἰσελεύ-
σονται εἰς τὰ κατώτατα
τῆς γῆς. παραδοθήσονται εἰς
χεῖρας ῥομφαίας. μερίδες ἀ-
λωπέκων ἔσονται.
Ὁ δὲ βασιλεὺς εὐφρανθήσε-
ται ἐπὶ τῷ θεῷ. ἐπαινεθήσε-
ται πᾶς ὁ ὀμνύων ἐν αὐτῷ.
ὅτι ἐνεφράγη στόμα λαλούν-
των ἄδικα.

Εἰς τὸ τέλος ψαλμὸς τῷ δα-
υίδ. . ξγ.

mei . in nomine tui leuabo
manus mei .
Vt ex adipe & pinguedine
impleatur anima mei. &
labio exultationis laudabit
os mei .
Si memor eram tui super
stratum mei. & in matu-
tinis meditabar in te quoniam fui-
sti adiutor mei.
Et in tegmine alarum
tui exultabo. adhæsit
anima mei post te : me
autem suscepit dextera tui.
Ipsi autem in uanum quæsi-
erunt animam mei. introi-
bunt in infima
terræ. tradentur in
manus gladii. partes uul-
pium erunt .
Sed rex lætabi-
tur in deo. laudabi-
tur omnis iurans in eo.
quia obstructum est os loquen-
tium iniusta.

In finem Psalmus Da-
uid. . lxiii.

ἐ ισάκουσον ὁ θεὸς τῆς
φωνῆς μου ἐν τῷ
δέεσθαι πρὸς σέ
ἀπὸ φόβου ἐχθροῦ ἐξελοῦ τὴν
ψυχήν μου.
Σκέπασόν με ἀπὸ συστροφῆς
πονηρευομένων. ἀπὸ πλήθους
ἐργαζομένων ἀδικίαν.
Οἵτινες ἠκόνησαν ὡς ῥομφαί-
αν τὰς γλώσσας αὐτῶν, ἐνέ-
τειναν τόξον αὐτῶν πρᾶγμα
πικρόν. τοῦ κατατοξεῦσαι ἐν
ἀποκρύφοις ἄμωμον.
Ἐξάπινα κατατοξεύσουσιν αὐ-
τὸν καὶ οὐ φοβηθήσεται. ἐκρα-
ταίωσαν ἑαυτοῖς λόγον πονη-
ρόν.
Διηγήσαντο τοῦ κρύψαι πα-
γίδας. εἶπον τίς ὄψεται αὐ-
τούς.
Ἐξηρεύνησαν ἀνομίαν ἐξέλι-
πον ἐξερευνῶντες ἐξερευνή-
σεις.
Προσελεύσεται ἄνθρωπος καὶ
καρδία βαθεῖα καὶ ὑψωθήσε-
ται ὁ θεός.
Βέλος νηπίων ἐγενήθησαν αἱ
πληγαὶ αὐτῶν. καὶ ἐξησθένη-
σαν ἐπ' αὐτοὺς αἱ γλῶσσαι αὐ-

e xaudi deus
uocem mei in
orare ad te
a timore inimici eripe
animam mei.
Protege me a conuentu
malignantium. a multitudine
operantium iniquitatem
Qui acuerunt ut gladi-
um linguas eorum. inten
derunt arcum eorum rem
amaram ſagittare in
occultis immaculatum.
Repente ſagittabunt e-
um & non timebit. fir-
mauerunt ſibi ſermonem ne-
quam.
Narrauerunt abſcondere la-
queum. dixerunt quis uidebit e-
os.
Scrutati ſunt iniquitatem. defe-
cerunt ſcrutantes ſcrutatio
nes.
Accedet homo &
cor profundum. & exalta  altum
bitur deus.
Sagitta paruulorum fuerunt
plagæ eorum. & infirmatæ
ſunt contra eos linguæ eo-

τῶν.
ἐταράχθησαν πάντες οἱ θεω
ροῦντες αὐτούς. καὶ ἐφοβή
θη πᾶς ἄνθρωπος.
Καὶ ἀνήγγειλαν τὰ ἔργα τοῦ
θεοῦ. καὶ τὰ ποιήματα αὐτοῦ
συνῆκαν.
εὐφρανθήσεται δίκαιος ἐν τῷ
κυρίῳ καὶ ἐλπιεῖ ἐπ᾽ αὐτόν.
καὶ ἐπαινεθήσονται πάντες
οἱ εὐθεῖς τῇ καρδίᾳ.

Δό. Κάθ. θ. εἰς τὸ τέλος ψαλ
μὸς τῷ Δαυίδ. ᾠδὴ Ἱερε-
μίου καὶ Ἰεζεκιὴλ καὶ τοῦ λα-
οῦ τῆς παροικίας ὅτε ἤμελ
λον ἐκπορεύεσθαι. ξδ.

σ οἱ πρέπει ὕμνος
ὁ θεὸς ἐν Σιών.
καὶ σοὶ ἀποδοθήσεται εὐ
χὴ ἐν Ἱερουσαλήμ.
εἰσάκουσον προσευχῆς μου.
πρὸς σὲ πᾶσα σὰρξ ἥξει.
λόγοι ἀνόμων ὑπερεδυνάμω
σαν ἡμᾶς. καὶ ταῖς ἀσεβείαις
ἡμῶν σὺ ἱλάσῃ.
Μακάριος ὃν ἐξελέξω καὶ
προσελάβου. κατασκηνώσει

rum.
Turbati sunt omnes uiden-
tes eos. & ti-
muit omnis homo.
Et annuntiauerunt opera
dei. & facta eius
intellexerunt.
Lætabitur iustus in
domino & sperabit in eum.
& laudabuntur omnes
recti corde.

Gloria. Sessio octaua. in finē psal
mus Dauid canticum Hiere-
miæ. & Hiezecielis & po-
pulo peregrinationis quando futuri
erant egredi. lxiiii.

t ibi decet hymnus
deus in Sion.
& tibi reddetur uo-
tum in hierusalem.
Exaudi orationis mei.
ad te omnis caro ueniet.
Verba iniquorum superaue
runt nos. & impietatibus
nostrum tu propitiaberis.
Beatus quem elegisti &
assumpsisti. habitabit

ἐν ταῖς αὐλαῖς σου.
Πλησθησόμεθα ἐν τοῖς ἀγαθοῖς
τοῦ οἴκου σου. ἅγιος ὁ ναὸς
σου θαυμαστὸς ἐν δικαιοσύνῃ.
ἐπάκουσον ὁ θεὸς ὁ σωτὴρ ἡ
μῶν. ἡ ἐλπὶς πάντων τῶν πε
ράτων τῆς γῆς, καὶ τῶν ἐν θα-
λάσσῃ μακράν.
ἑτοιμάζων ὄρη ἐν τῇ ἰσχύϊ αὐ
τοῦ περιεζωσμένος ἐν δυνα-
στείᾳ ὁ συνταράσσων τὸ κύ-
τος τῆς θαλάσσης. ἤχους κυ-
μάτων αὐτῆς τίς ὑποστήσε-
ται;
Ταραχθήσονται τὰ ἔθνη καὶ
φοβηθήσονται οἱ κατοικοῦν
τες τὰ πέρατα ἀπὸ τῶν ση
μείων. ἐξόδους πρωΐας καὶ
ἑσπέρας τέρψεις.
ἐπεσκέψω τὴν γῆν καὶ ἐμέθυ
σας αὐτήν. ἐπλήθυνας τοῦ
πλουτίσαι αὐτήν.
ὁ ποταμὸς τοῦ θεοῦ ἐπλη
ρώθη ὑδάτων. ἡτοίμασας
τὴν τροφὴν αὐτῶν ὅτι οὕ
τως ἡ ἑτοιμασία.
Τὰς αὔλακας αὐτῆς μέθυ
σον, πλήθυνον τὰ γεννήματα
αὐτῆς, ἐν ταῖς σταγόσιν αὐ-

in atriis tui.
Implebimur in bonis
domus tui. sanctum templum
tui mirabile in iusticia.
Exaudi deus salutaris no-
strum. spes omnium fi
nium terræ & in ma
ri longe.
Parans montes in fortitudine e-
ius accinctus in poten-
tia. conturbans pro
fundum maris. sonos flu
ctuum eius/quis sustine
bit.
Turbabuntur gentes & ti
mebunt habitan
tes fines a si-
gnis. exitus matutini &
uesperæ delectabis.
Visitasti terram & inebria-
sti eam. multiplicasti
ditare eam.
Flumen dei reple
tum est aquarum. parasti
cibum eorum quia
sic præparatio.
Sulcos eius ine- Riuos.
bria multiplica genimina
eius. in stillicidiis e-

τῆς εὐφρανθήσεται ἀνατέλ-
λουσα.
εὐλογήσεις τὸν στέφανον τοῦ
ἐνιαυτοῦ τῆς χρηστότητός
σου. καὶ τὰ πεδία σου πλη-
σθήσονται πιότητι.
Πιανθήσονται τὰ ὡραῖα τῆς
ἐρήμου. καὶ ἀγαλλίασιν οἱ
βουνοὶ περιζώσονται.
ἐνεδύσαντο οἱ κριοὶ τῶν προ
βάτων. καὶ αἱ κοιλάδες
πληθυνοῦσι σῖτον. κεκράξον-
ται καὶ γὰρ ὑμνήσουσι.

εἰς τὸ τέλος ᾠδὴ ψαλμοῦ
ἀναστάσεως. ξε.

ἀ λαλάξατε τῷ κυ-
ρίῳ πᾶσα ἡ γῆ.
ψάλατε δὴ τῷ ὀνό
ματι αὐτοῦ. δότε δόξαν ἐν
αἰνέσει αὐτοῦ.
εἴπατε τῷ θεῷ ὡς φοβερὰ
τὰ ἔργα σου. ἐν τῷ πλήθει
τῆς δυνάμεώς σου ψεύσον-
ταί σε οἱ ἐχθροί σου.
Πᾶσα ἡ γῆ προσκυνησάτω-
σάν σοι καὶ ψαλάτωσάν σοι.
ψαλάτωσαν δὴ τῷ ὀνόμα-

ius lætabitur exori-
ens.
Benedices coronam
anni benignitatis
tui. & campi tui implebun
tur hubertate.
Pinguescent speciosa
deserti. & exultationem
colles accingentur.
Induerunt arietes oui
um. & ualles
multiplicabunt frumentum. clama-
bunt & enim laudabunt.

In finem canticum psalmi
resurrectionis. lxv

I ubilate do-
mino omnis terra.
psallite nomi-
ni eius. date gloriam in
laude eius.
Dicite deo quam terribilia
opera tui. in multitudine
uirtutis tui mentien-
tur te inimici tui.
Omnis terra ado-
rent tibi & psallant tibi.
psallant no-

τί σου ὕψιστε.
Δεῦτε καὶ ἴδετε τὰ ἔργα τοῦ
θεοῦ. ὡς φοβερὸς ἐν βου-
λαῖς ὑπὲρ τοὺς υἱοὺς τῶν
ἀνθρώπων.
Ὁ μεταστρέφων τὴν θάλασ-
σαν εἰς ξηράν, ἐν ποταμῷ δι-
ελεύσονται ποδί. ἐκεῖ εὐ-
φρανθησόμεθα ἐπ αὐτῷ.
Τῷ δεσπόζοντι ἐν τῇ δυνα-
στείᾳ αὐτοῦ τοῦ αἰῶνος. οἱ ὀφ-
θαλμοὶ αὐτοῦ ἐπὶ τὰ ἔθνη ἐ-
πιβλέπουσιν. οἱ παραπικραί-
νοντες μὴ ὑψούσθωσαν ἐν ἑ-
αυτοῖς.
Εὐλογεῖτε ἔθνη τὸν θεὸν ἡμῶν
καὶ ἀκουτίσατε τὴν φωνὴν
τῆς αἰνέσεως αὐτοῦ.
Τοῦ θεμένου τὴν ψυχήν μου
εἰς ζωήν. καὶ μὴ δόντος εἰς
σάλον τοὺς πόδας μου.
Ὅτι ἐδοκίμασας ἡμᾶς ὁ θεός.
ἐπύρωσας ὡς πυροῦται τὸ
ἀργύριον.
Εἰσήγαγες ἡμᾶς εἰς τὴν παγί-
δα. ἔθου θλίψεις ἐπὶ τὸν νῶ-
τον ἡμῶν. ἐπεβίβασας ἀν-
θρώπους ἐπὶ τὰς κεφαλὰς
ἡμῶν.

mini tui altissime.
Venite & uidete opera
dei. quam terribilis in consi
liis super filios
hominum.
Conuertens ma-
re in aridam in flumine per-
transibunt pede. ibi læta
bimur in eo.
Dominanti in uirtu
te eius sæculi. ocu-
li eius super gentes respi-
ciunt exasperan-
tes non exaltentur in se
ipsis.
Benedicite gentes deum nostrum
& diuulgate uocem
laudationis eius.
Ponentis animam mei
in uitam. & non dantis in
commotionem pedes mei.
Quoniam probasti nos deus
examinasti sicut examinatur
argentum.
Induxisti nos in laque-
um. posuisti tribulationes sup̲ dor
sum nostrum. imposuisti ho-
mines super capita
nostrum.

Διήλθομεν διὰ πυρὸς καὶ ὕ-
δατος. καὶ ἐξήγαγες ἡμᾶς
εἰς ἀναψυχήν.
Εἰσελεύσομαι εἰς τὸν οἶκον
σου ἐν ὁλοκαυτώμασιν. ἀπο-
δώσω σοι τὰς εὐχάς μου ἃ
διέστειλε τὰ χείλη μου.
Καὶ ἐλάλησε τὸ στόμα μου ἐν
τῇ θλίψει μου.
Ὁλοκαυτώματα μεμυελωμένα,
ἀνοίσω σοι μετὰ θυμιάματος
καὶ κριῶν. ἀνοίσω σοι βόας
μετὰ χιμάρων.
Δεῦτε ἀκούσατε καὶ διηγή-
σομαι ὑμῖν πάντες οἱ φοβού-
μενοι τὸν θεόν. ὅσα ἐποίησε
τῇ ψυχῇ μου.
Πρὸς αὐτὸν τῷ στόματί μου ἐ-
κέκραξα. καὶ ὕψωσα ὑπὸ
τὴν γλῶσσάν μου.
Ἀδικίαν εἰ ἐθεώρουν ἐν καρ-
δίᾳ μου μὴ εἰσακουσάτω
μου ὁ θεὸς κύριος.
Διὰ τοῦτο εἰσήκουσέ μου ὁ θε-
ός. προσέσχε τῇ φωνῇ τῆς δε-
ήσεώς μου.
Εὐλογητὸς κύριος ὃς οὐκ ἀπέ-
στησε τὴν προσευχήν μου, καὶ
τὸ ἔλεος αὐτοῦ ἀπ᾽ ἐμοῦ.

Transiuimus per ignem & a-
quam. & eduxisti nos
in refrigerium.
Introibo in domum
tui in holocaustis. red
dam tibi uota mei quæ
distinxerunt labia mei.
Et locutum est os mei in
tribulatione mei.
Holocausta medullata
offeram tibi cum incenso
& arietibus. offeram tibi boues
cum hircis.
Venite audite & nar-
rabo uobis omnes tim en
tes deum. quanta fecit
animæ mei.
Ad ipsum ore mei cla-
maui. & exaltaui sub
lingua mei.
Iniusticiam si uidebam in cor-
de mei. non exaudiat
me dominus.
Propterea exaudiuit me de
us attendit uoci deprecatio-
nis mei.
Benedictus dominus qui non amo-
uit orationem mei &
misericordiam eius a me.

εἰς τὸ τέλος ἐν ὕμνοις ψαλ-
μὸς τῷ δαυίδ. ξϛ.

Ὁ θεὸς οἰκτειρήσαι
ἡμᾶς καὶ εὐλογήσαι
ἡμᾶς. ἐπιφάναι
τὸ πρόσωπον αὐτοῦ ἐφ᾽ ἡμᾶς
καὶ ἐλεήσαι ἡμᾶς.
τοῦ γνῶναι ἐν τῇ γῇ τὴν ὁδὸν
σου. ἐν πᾶσιν ἔθνεσι τὸ σω-
τήριόν σου.
ἐξομολογησάσθωσάν σοι λαοὶ
ὁ θεός. ἐξομολογησάσθωσάν
σοι λαοὶ πάντες.
εὐφρανθήτωσαν καὶ ἀγαλλιά-
σθωσαν ἔθνη ὅτι κρινεῖς
λαοὺς ἐν εὐθύτητι. καὶ ἔθνη
ἐν τῇ γῇ ὁδηγήσεις.
ἐξομολογησάσθωσάν σοι λα-
οὶ ὁ θεός. ἐξομολογησάσθω-
σάν σοι λαοὶ πάντες. γῆ ἔδω-
κε τὸν καρπὸν αὐτῆς.
εὐλογήσαι ἡμᾶς ὁ θεός. ὁ θεὸς
ἡμῶν εὐλογήσαι ἡμᾶς ὁ θε-
ός. καὶ φοβηθήτωσαν αὐ-
τὸν πάντα τὰ πέρατα τῆς
γῆς.

In finem in hymnis psal-
mus dauid. lxvi.

Deus misereatur
nostri & benedicat
nos. illustret
uultum eius super nos
& misereatur nostri.
Cognoscere in terra uiam
tui. in omnibus gentibus saluta-
re tui.
Confiteantur tibi populi
deus. confiteantur
tibi populi omnes.
Lætentur & exul
tent gentes. quoniam iudicabis
populos in æquitate. & gentes
in terra diriges.
Confiteantur tibi po
puli deus. confitean
tur tibi populi omnes. terra de-
dit fructum eius.
Benedicat nos deus. deus
nostrum benedicat nos de
us. & metuant e-
um omnes fines
terræ.

Δό. εἰς τὸ τέλος τῷ δαυὶδ
ψαλμὸς ᾠδῆς. ξζ.

ἀ ναστήτω ὁ θεὸς καὶ
διασκορπισθήτωσαν
οἱ ἐχθροὶ αὐτοῦ.
καὶ φυγέτωσαν ἀπὸ προσώπου
αὐτοῦ οἱ μισοῦντες αὐτόν.
ὡς ἐκλείπει καπνὸς ἐκλιπέτω-
σαν ὡς τήκεται κηρὸς ἀπὸ
προσώπου πυρὸς. οὕτως ἀ-
πολοῦνται οἱ ἁμαρτωλοὶ ἀ-
πὸ προσώπου τοῦ θεοῦ.
Καὶ δίκαιοι εὐφρανθήτωσαν
ἀγαλλιάσθωσαν ἐνώπιον τοῦ
θεοῦ. τερφθήτωσαν ἐν εὐφρο-
σύνῃ.
ᾄσατε τῷ θεῷ ψάλατε τῷ ὀ-
νόματι αὐτοῦ. ὁδοποιήσατε
τῷ ἐπιβεβηκότι ἐπὶ δυσ-
μῶν. κύριος ὄνομα αὐτῷ.
Καὶ ἀγαλλιᾶσθε ἐνώπιον αὐ-
τοῦ ταραχθήτωσαν ἀπὸ προ-
σώπου αὐτοῦ τοῦ πατρὸς
τῶν ὀρφανῶν καὶ κριτοῦ
τῶν χηρῶν.
ὁ θεὸς ἐν τόπῳ ἁγίῳ αὐτοῦ
ὁ θεὸς κατοικίζει μονοτρό-
πους ἐν οἴκῳ.

Gloria. In finem Dauid
pſalmus cantici. lxvii.

e xurgat deus &
diſſipentur
inimici eius.
& fugiant a facie
eius odientes eum.
Sicut deficit fumus defi-
ciant. ſicut liqueſcit cæra a
facie ignis ſic peri-
bunt peccatores
a facie dei.
Et iuſti lætentur
exultent coram
deo. delectentur in læti-
cia.
Cantate deo pſallite no-
mini eius iter facite
aſcendenti ſuper oc-
caſum. dominus nomen ei.
Et exultate coram e-
o turbentur a fa-
cie eius patris
pupilloꝝ. & iudicis
uiduaꝝ.
Deus in loco ſancto eius.
deus collocat ſimpli-
ces in domo.

ἐξάγων πεπεδημένους ἐν ἀν-
δρίᾳ. ὁμοίως τοὺς παραπι-
κραίνοντας τοὺς κατοικοῦντας
ἐν τάφοις.
Ὁ θεὸς ἐν τῷ ἐκπορεύεσθαι ἐνώ-
πιον τοῦ λαοῦ σου. ἐν τῷ
διαβαίνειν σε ἐν τῇ ἐρήμῳ.
Γῆ ἐσείσθη καὶ γὰρ οἱ οὐρανοὶ
ἔσταξαν ἀπὸ προσώπου τοῦ
θεοῦ τοῦ σινᾶ, ἀπὸ προσώ-
που τοῦ θεοῦ τοῦ ἰσραήλ.
Βροχὴν ἑκούσιον ἀφοριεῖς ὁ
θεὸς τῇ κληρονομίᾳ σου καὶ
ἠσθένησε σὺ δὲ κατηρτίσω
αὐτήν.
Τὰ ζῶά σου κατοικοῦσιν ἐν αὐ-
τῇ. ἡτοίμασας ἐν τῇ χρηστό-
τητί σου τῷ πτωχῷ ὁ θεός.
Κύριος δώσει ῥῆμα τοῖς εὐ-
αγγελιζομένοις δυνάμει
πολλῇ.
Ὁ βασιλεὺς τῶν δυνάμεων
τοῦ ἀγαπητοῦ. τῇ ὡραιότητι
τοῦ οἴκου διελέσθαι σκῦλα.
ἐὰν κοιμηθῆτε ἀναμέσον τῶν
κλήρων. πτέρυγες περιστερᾶς
περιηργυρωμέναι καὶ τὰ με-
τάφρενα αὐτῆς ἐν χλωρό-
τητι χρυσίου.

Educens uinctos in forti-
tudine. exaſperan-
tes habitantes
in ſepulchris.
Deus in egrediendo co-
ram populo tui. in
tranſeundo in deſerto.
Terra mota eſt & cæli
ſtillauerunt a facie
dei Sina. a fa
cie dei iſrael.
Pluuiam uoluntariam ſegregabis
deus hæreditati tui. &
infirmata eſt. tu autem ꝑfeciſti
eam.
Animalia tui habitabunt in e-
a. paraſti in dulcedi-
ne tui pauperi deus.
Dominus dabit uerbum annun
tiantibus uirtute
multa.
Rex uirtutum
dilecti, ſpeciei
domus diuidere ſpolia.
Si dormiatis in medio
clerorum. pennæ columbæ
deargentatæ & ſca-
pulæ eius in pallo-
re auri.

ἐν τῷ διαστέλλειν τὸν ἐπου-
ράνιον βασιλεῖς ἐπ' αὐτῆς
χιονωθήσονται ἐν σελμὼν ὄ-
ρος τοῦ θεοῦ ὄρος πῖον.
Ὄρος τετυρωμένον ὄρος πῖ-
ον. ἵνα τί ὑπολαμβάνετε ὄ-
ρη τετυρωμένα.
τὸ ὄρος ὃ εὐδόκησεν ὁ θεὸς
τοῦ κατοικεῖν ἐν αὐτῷ. καὶ
γὰρ ὁ κύριος κατασκηνώσει
εἰς τέλος.
τὸ ἅρμα τοῦ θεοῦ μυριοπλά-
σιον χιλιάδες εὐθηνούντων.
κύριος ἐν αὐτοῖς ἐν σιναῒν
ἐν τῷ ἁγίῳ.
Ἀνέβης εἰς ὕψος ᾐχμαλώτευ-
σας αἰχμαλωσίαν. ἔλαβες
δόματα ἐν ἀνθρώποις.
Καὶ γὰρ ἀπειθοῦντας τοῦ κα-
τασκηνῶσαι. κύριος ὁ θεὸς
εὐλογητός.
εὐλογητὸς κύριος ἡμέραν κα-
θ' ἡμέραν κατευοδώσει ἡμῖν
ὁ θεὸς τῶν σωτηρίων ἡμῶν.
Ὁ θεὸς ἡμῶν ὁ θεὸς τοῦ σώζειν.
καὶ τοῦ κυρίου κυρίου
αἱ διέξοδοι τοῦ θανάτου.
Πλὴν ὁ θεὸς συνθλάσει κεφα-
λὰς ἐχθρῶν αὐτοῦ κορυ-

In discernendo cæle
stem reges super eam niue
dealbabuntur in selmon
mons dei mons pinguis.
Mons coagulatus mons pin
guis. quid suspicamini mon-
tes coagulatos.
Mons quem probauit deus
habitare in eo. &
enim dominus inhabi-
tabit in finem.
Currus dei decem milibus multi-
plex milia lætantium.
dominus in eis in sinain
in sancto.
Ascendisti in altum. captiua-
sti captiuitatem. cepisti
dona in hominibus.
& enim non credentes inha-
bitare dominus deus
benedictus.
Benedictus dominus die quotti-
die prosperum iter faciet nobis
deus salutum nostrum.
Deus nostrum deus saluandi.
& domini domini *et dñi dei mortis egressi*
exitus mortis.
Veruntamen deus confringet capi
ta inimicorum eius uerti-

φὴν τριχὸς διαπορευομέ-
νων ἐν πλημμελείαις αὐ-
τῶν.
εἶπε κύριος ἐκ Βασὰν ἐπιστρέ-
ψω. ἐπιστρέψω ἐν βυθοῖς θα-
λάσσης.
ὅπως ἂν βαφῇ ὁ πούς σου ἐν
αἵματι. ἡ γλῶσσα τῶν κυνῶν
σου ἐξ ἐχθρῶν παρ᾽ αὐτοῦ.
ἐθεωρήθησαν αἱ πορεῖαι σου
ὁ θεός. αἱ πορεῖαι τοῦ θεοῦ
μου τοῦ βασιλέως τοῦ ἐν
τῷ ἁγίῳ.
Προέφθασαν ἄρχοντες ἐχόμε-
να ψαλλόντων ἐν μέσῳ νεα-
νίδων τυμπανιστριῶν.
ἐν ἐκκλησίαις εὐλογεῖτε τὸν
θεόν. κύριον ἐκ πηγῶν ἰσρα-
ήλ.
ἐκεῖ Βενιαμὶν νεώτερος ἐν ἐκ-
στάσει.
Ἄρχοντες ἰούδα ἡγεμόνες αὐ-
τῶν. ἄρχοντες ζαβουλὼν ἄρ-
χοντες νεφθαλείμ.
ἔντειλαι ὁ θεὸς τῇ δυνάμει
σου δυνάμωσον τοῦτο ὁ θε-
ὸς ὃ κατειργάσω ἐν ἡμῖν.
Ἀπὸ τοῦ ναοῦ σου ἐπὶ ἱερουσα-
λήμ. σοὶ οἴσουσι βασιλεῖς

cem capilli perambulan-
tium in delictis eo-
rum.
Dixit dominus ex Basan con
uertam conuertam in profundis ma
ris.
Vt intinguatur pes tuus in
sanguine. lingua canum
tui ex inimicis ab ipso.
Visi sunt gressus tui
deus. gressus dei
mei regis in
sancto.
Præuenerunt principes coniun
cta psallentium. in medio iuuen
cularum tympanistriarum.
In concionibus benedicite
deum. dominum ex fontibus isra-
el.
Ibi beniamin adolescentior in stu-
pore.
Principes Iuda duces eo
rum. principes Zabulon princi
pes Nephthalim.
Manda deus uirtute
tui. confirma hoc de-
us quod operatus es in nobis.
A templo tui in Hierusa-
lem. tibi ferent reges

| | |
|---|---|
| δῶρα. | munera. |
| ἐπιτίμησον τοῖς θηρίοις τοῦ | Increpa feras |
| καλάμου. ἡ συναγωγὴ τῶν- | arundinis congregatio |
| ταύρων ἐν ταῖς δαμάλεσι | taurorum in uaccis |
| τῶν λαῶν τοῦ ἐκκλεισθῆναι | populorum. excludi |
| τοὺς δεδοκιμασμένους τῷ | probatos |
| ἀργυρίῳ. | argento. |
| Διασκόρπισον ἔθνη τὰ τοὺς | Dissipa gentes |
| πολέμους θέλοντα. ἥξουσι | bella uolentes. uenient |
| πρέσβεις ἐξ αἰγύπτου. αἰθιο- | legati ex ægypto. æthio |
| πία προφθάσει χεῖρας αὐ- | pia præueniet manus e- |
| τῆς τῷ θεῷ. | ius deo. |
| Αἱ βασιλεῖαι τῆς γῆς ᾄσατε | Regna terræ cantate |
| τῷ θεῷ ψάλατε τῷ κυρίῳ. | deo psallite domino |
| τῷ ἐπιβεβηκότι ἐπὶ τὸν οὐρα | ascendenti super cæ- |
| νὸν τοῦ οὐρανοῦ κατὰ ἀνατο | lum cæli ad orien- |
| λάς. | tem. |
| Ἰδοὺ δώσει τῇ φωνῇ αὐτοῦ | Ecce dabit uoci eius |
| φωνὴν δυνάμεως, δότε δό | uocem uirtutis date glo- |
| ξαν τῷ θεῷ. ἐπὶ τὸν ἰσραὴλ ἡ | riam deo. super israel |
| μεγαλοπρέπεια αὐτοῦ. καὶ ἡ | magnificentia eius. & |
| δύναμις αὐτοῦ ἐν ταῖς νε- | uirtus eius in nu- |
| φέλαις. | bibus. |
| Θαυμαστὸς ὁ θεὸς ἐν τοῖς ἁγί- | Mirabilis deus in san- |
| οις αὐτοῦ. ὁ θεὸς ἰσραὴλ αὐ- | ctis eius. deus israel i- |
| τὸς δώσει δύναμιν καὶ κρα | pse dabit uirtutem & fortitu |
| ταίωσιν τῷ λαῷ αὐτοῦ εὐλο | dinem plebi eius benedi- |
| γητὸς ὁ θεός. | ctus deus. |

Δό. εἰς τὸ τέλος ὑπὲρ τῶν ἀλλοιωθησομένων ψαλμὸς τῷ δαυίδ. ξη.

σ ῶσόν με ὁ θεὸς ὅτι εἰσήλθοσαν ὕδατα ἕως ψυχῆς μου.

ἐνεπάγην εἰς ἰλὺν βυθοῦ καὶ οὐκ ἔστιν ὑπόστασις.

ἦλθον εἰς τὰ βάθη θαλάσσης. καὶ καταιγὶς κατεπόντισέ με.

ἐκοπίασα κράζων ἐβραγχίασε ὁ λάρυγξ μου. ἐξέλιπον οἱ ὀφθαλμοί μου ἀπὸ τοῦ ἐλπίζειν με ἐπὶ τὸν θεόν μου.

ἐπληθύνθησαν ὑπὲρ τὰς τρίχας τῆς κεφαλῆς μου. οἱ μισοῦντές με δωρεάν.

ἐκραταιώθησαν οἱ ἐχθροί μου οἱ ἐκδιώκοντές με ἀδίκως.

ἃ οὐχ ἥρπαζον τότε ἀπετίννυον.

Ὁ θεὸς σὺ ἔγνως τὴν ἀφροσύνην μου. καὶ αἱ πλημμέλειαί μου ἀπὸ σοῦ οὐκ ἀπεκρύβησαν.

Gloria. In finem pro commutandis psalmus Dauid. lxviii.

S alua me deus quoniam ītrauerunt aquæ usque animam mei.

Infixus sum ī limum profundi & non est substantia.

Veni in profunda maris. & tempestas demersit me.

Laboraui clamans rausit faux mea. defecerunt oculi mei a sperare me in deum mei.

Multiplicati sunt super capillos capitis mei. odientes me gratis.

Confortati sunt inimici mei persequentes me iniuste.

quæ non rapui tunc exoluebam.

Deus tu nosti insipientiam mei. & delicta mei a te non latuerunt.

Μὴ αἰσχυνθείησαν ἐπ' ἐμοὶ οἱ ὑ-
πομένοντές σε κύριε κύριε
τῶν δυνάμεων.
Μηδὲ ἐντραπείησαν ἐπ' ἐμοὶ οἱ
ζητοῦντές σε ὁ θεὸς τοῦ ἰσρα-
ήλ.
Ὅτι ἕνεκα σοῦ ὑπήνεγκα ὀνει-
δισμόν. ἐκάλυψεν ἐντροπὴ τὸ
πρόσωπόν μου.
Ἀπηλλοτριωμένος ἐγενήθην
τοῖς ἀδελφοῖς μου. καὶ ξένος
τοῖς υἱοῖς τῆς μητρός μου.
Ὅτι ὁ ζῆλος τοῦ οἴκου σου κατέ-
φαγέ με. καὶ οἱ ὀνειδισμοὶ τῶν
ὀνειδιζόντων σε ἐπέπεσον
ἐπ' ἐμέ.
Καὶ συνεκάλυψα ἐν νηστείᾳ
τὴν ψυχήν μου. καὶ ἐγενήθη
εἰς ὀνειδισμοὺς ἐμοί.
Καὶ ἐθέμην τὸ ἔνδυμά μου
σάκκον. καὶ ἐγενόμην αὐ-
τοῖς εἰς παραβολήν.
Κατ' ἐμοῦ ἠδολέσχουν οἱ κα-
θήμενοι ἐν πύλαις. καὶ εἰς
ἐμὲ ἔψαλλον οἱ πίνοντες οἶ-
νον.
Ἐγὼ δὲ τῇ προσευχῇ μου πρὸς
σὲ κύριε κύριε καιρὸς εὐδοκί-
ας ὁ θεός.

Non erubeſcant ſuper me ſuſti-
nentes te domine domine
uirtutum.
Neq; reuereantur ſuper me
quærentes te deus iſ-
rael.
Quoniam gratia tui ſuſtinui obꝓ-
brium cooperuit confuſio
faciem mei.
Alienus factus ſum
fratribus mei. & peregrinus
filiis matris mei.
Quoniam zelus domus tui come-
dit me. & obprobria
exprobrantium te ceciderunt
ſuper me.
Et cooperui in ieiunio
animam mei. & factum eſt
in obprobria mihi.
Et poſui ueſtimentum mei
cilicium. & factus ſum il-
lis in ſimilitudinem.
Aduerſum me garriebant
ſedentes in portis & in
me pſallebant bibentes ui-
num.
Ego autem oratione mei ad
te domine domine tẽpus benepla-
citi deus.

ἐν τῷ πλήθει τοῦ ἐλέους
σου ἐπάκουσόν μου. ἐν ἀλη
θείᾳ τῆς σωτηρίας σου.
Σῶσόν με ἀπὸ πηλοῦ ἵνα μὴ
ἐμπαγῶ. ῥυσθείην ἐκ τῶν μι-
σούντων με ἐκ τῶν βαθέων
τῶν ὑδάτων.
Μή με καταποντισάτω καται
γὶς ὕδατος. μηδὲ καταπιέ-
τω με βυθός. μηδὲ συσχέ-
τω ἐπ' ἐμὲ φρέαρ τὸ στόμα
αὐτοῦ.
Εἰσάκουσόν μου κύριε ὅτι
χρηστὸν τὸ ἔλεός σου. κατὰ
τὸ πλῆθος τῶν οἰκτιρμῶν
σου ἐπίβλεψον ἐπ' ἐμέ.
Μὴ ἀποστρέψῃς τὸ πρόσωπόν
σου ἀπὸ τοῦ παιδός σου. ὅ
τι θλίβομαι ταχὺ ἐπάκου
σόν μου.
Πρόσχες τῇ ψυχῇ μου καὶ λύ
τρωσον αὐτήν. ἕνεκα τῶν
ἐχθρῶν μου ῥῦσαί με.
Σὺ γὰρ γινώσκεις τὸν ὀνειδισ-
μόν μου, καὶ τὴν αἰσχύνην
μου καὶ τὴν ἐντροπήν μου.
Ἐναντίον σου πάντες οἱ θλί-
βοντές με. ὀνειδισμὸν προσε
δόκησεν ἡ ψυχή μου καὶ

In multitudine miſericordiæ
tui exaudi me. in uerita-
te ſalutis tui.
Salua me a luto ut non
infigar. eripiar ex odienti-
bus me ex profundis
aquarum.
Non me demergat tempe-
ſtas aquæ neq; abſor-
beat me profundum. neque ur-
geat ſuper me puteus os
eius.
Exaudi me domine quoniam
benigna miſericordia tui. ſecundũ
multitudinem miſerationum
tui reſpice in me.
Non auertas faciem
tui a puero tui. quo-
niam tribulor uelociter exau-
di me.
Intende animæ mei & li-
bera eam. propter
inimicos mei libera me.
Tu enim ſcis obpro-
brium mei & confuſionem
mei & reuerentiam mei.
Coram te omnes tribulan-
tes me. improperium expecta-
uit anima mei &

ταλαιπωρίαν.
Καὶ ὑπέμεινα συλλυπούμενον
καὶ οὐχ ὑπῆρξε. καὶ παρακα
λοῦντας καὶ οὐχ εὗρον.
Καὶ ἔδωκαν εἰς τὸ βρῶμά μου
χολήν. καὶ εἰς τὴν δίψαν μου
ἐπότισάν με ὄξος.
Γενηθήτω ἡ τράπεζα αὐτῶν ἐ-
νώπιον αὐτῶν. εἰς παγίδα καὶ
εἰς ἀνταπόδοσιν καὶ εἰς σκάν-
δαλον.
Σκοτισθήτωσαν οἱ ὀφθαλμοὶ
αὐτῶν τοῦ μὴ βλέπειν. καὶ
τὸν νῶτον αὐτῶν διαπαν-
τὸς σύγκαμψον.
Ἔκχεον ἐπ᾽ αὐτοὺς τὴν ὀργήν
σου. καὶ ὁ θυμὸς τῆς ὀργῆς
σου καταλάβοι αὐτούς.
Γενηθήτω ἡ ἔπαυλις αὐτῶν ἠ-
ρημωμένη. καὶ ἐν τοῖς σκηνώ
μασιν αὐτῶν μὴ ἔστω ὁ κατοι
κῶν.
Ὅτι ὃν σὺ ἐπάταξας αὐτοὶ κα-
τεδίωξαν. καὶ ἐπὶ τὸ ἄλγος
τῶν τραυμάτων μου προσέ-
θηκαν.
Πρόσθες ἀνομίαν ἐπὶ τὴν ἀ-
νομίαν αὐτῶν. καὶ μὴ εἰσελθέ
τωσαν ἐν δικαιοσύνῃ σου.

miseriam.
Et sustinui contristantem
& non fuit. & consolan-
tes. & non inueni,
Et dederunt in escam mei
fel. & in sitim mei
propinauerunt mihi acetum.
Fiat mensa eorum co
ram eis in laqueum &
in retributionem & in scan
dalum.
Obscurentur oculi
eorum non uidere. &
dorsum eorum sem-
per incurua.
Effunde super eos iram
tui. & furor iræ
tui compræhendat eos.
Fiat habitatio eorum de-
serta, & in taberna
culis eorum non sit inha
bitans.
Quoniã quem tu perfecisti ipsi p
secuti sunt. & super dolorem
uulnerum meorum addi-
derunt.
Appone iniquitatem super ini-
quitatem eorum. & non in-
trent in iusticia tui.

ἐξαλειφθήτωσαν ἐκ βίβλου
ζώντων. καὶ μετὰ δικαίων
μὴ γραφήτωσαν.
Πτωχὸς καὶ ἀλγῶν εἰμὶ ἐγώ.
ἡ σωτηρία σου ὁ θεὸς ἀντε
λάβετό μου.
Αἰνέσω τὸ ὄνομα τοῦ θεοῦ
μετ᾽ ᾠδῆς. μεγαλυνῶ αὐ
τὸν ἐν αἰνέσει.
Καὶ ἀρέσει τῷ θεῷ ὑπὲρ μόσ
χον νέον. κέρατα ἐκφέρον
τα καὶ ὁπλάς.
Ἰδέτωσαν πτωχοὶ καὶ εὐ
φρανθήτωσαν. ἐκζητήσατε
τὸν κύριον καὶ ζήσεται ἡ ψυ
χὴ ὑμῶν.
Ὅτι εἰσήκουσε τῶν πενήτων ὁ
κύριος. καὶ τοὺς πεπεδημέ
νους αὐτοῦ οὐκ ἐξουδένωσε.
Αἰνεσάτωσαν αὐτὸν οἱ οὐρα
νοὶ καὶ ἡ γῆ. θάλασσα καὶ
πάντα τὰ ἕρποντα ἐν αὐ
τοῖς.
Ὅτι ὁ θεὸς σώσει τὴν σιών.
καὶ οἰκοδομηθήσονται αἱ πό
λεις τῆς ἰουδαίας.
Καὶ κατοικήσουσιν ἐκεῖ καὶ
κληρονομήσουσιν αὐτήν. καὶ
τὸ σπέρμα τῶν δούλων σου

Deleantur ex libro
uiuentium. & cum iuſtis
non ſcribantur.
Pauper & dolens ſum ego.
ſalus tui deus ſuſce
pit me.
Laudabo nomen dei
cum cantico. magnificabo e
um in laude
Et placebit deo ſuper ui-
tulum nouellum cornua producen-
tem & ungulas.
Videant pauperes & læten
tur. quærite
dominum. & uiuet ani-
ma ueſtrum.
Quoniam exaudiuit pauperes
dominus. & uin
ctos eius non deſpexit.
Laudent eum cæ-
li & terra. mare &
omnia repentia in e
is.
Quoniam deus ſaluabit ſion.
& ædificabuntur ciui-
tates iudææ.
Et habitabunt ibi &
hæreditate acquirent eam. &
ſæmen ſeruorum tui

καθέξουσιν αὐτὴν. καὶ οἱ ἀ-
γαπῶντες τὸ ὄνομά σου κα-
τασκηνώσουσιν ἐν αὐτῇ.

εἰς τὸ τέλος τῷ Δαυὶδ εἰς
ἀνάμνησιν εἰς τὸ σῶσαί με
κύριον. ξθ.

Ὁ θεὸς εἰς τὴν βοήθειάν
μου πρόσχες.
κύριε εἰς τὸ βοηθῆσαί μοι σπεῦ-
σον.
Αἰσχυνθήτωσαν καὶ ἐντρα-
πήτωσαν οἱ ζητοῦντες τὴν
ψυχήν μου.
Ἀποστραφήτωσαν εἰς τὰ ὀ-
πίσω καὶ καταισχυνθήτω-
σαν οἱ βουλόμενοί μοι κακά.
Ἀποστραφήτωσαν παραυτίκα
αἰσχυνόμενοι οἱ λέγοντές
μοι εὖγε εὖγε.
Ἀγαλλιάσθωσαν καὶ εὐφραν-
θήτωσαν ἐπὶ σοὶ πάντες οἱ
ζητοῦντές σε ὁ θεός.
Καὶ λεγέτωσαν διαπαντὸς
μεγαλυνθήτω ὁ θεὸς οἱ ἀ-
γαπῶντες τὸ σωτήριόν σου.
ἐγὼ δὲ πτωχός εἰμι καὶ πέ-
νης ὁ θεὸς βοήθησόν μοι.

possidebunt eam. & diligen-
tes nomen tui habita-
bunt in ea.

In finem Dauid in
commemorationem in saluare me
dominum. lxviiii.

d eus in adiutorium
mei attende.
domine in adiuuare me festi-
na.
Erubescant & reuerean-
tur quærentes
animam mei.
Auertantur in re-
tro. & cofundan-
tur uolentes mihi mala.
Auertantur statim
erubescentes. dicentes
mihi euge euge.
Exultent & læten-
tur in te omnes
quærentes te deus.
Et dicant semper
magnificetur deus dili-
gentes salutare tui.
Ego autem mendicus sum & pau
per deus adiuua me.

βοηθός μου καὶ ῥύστης μου εἶ
σὺ κύριε μὴ χρονίσῃς.

Δό. καθ. ῑ. τῷ δαυὶδ ψαλ-
μὸς τῶν υἱῶν ἰωναδὰβ, καὶ τῶν
πρώτων αἰχμαλωτισθέντων
ἀνεπίγραφος παρ᾽ ἑβραίοις.
.ο.

ἐ πί σοὶ κύριε ἤλπισα
μὴ καταισχυνθείην εἰς
τὸν αἰῶνα.
ἐν τῇ δικαιοσύνῃ σου ῥῦσαι
με καὶ ἐξελοῦ με.
Κλῖνον πρός με τὸ οὖς σου.
καὶ σῶσόν με.
Γενοῦ μοι εἰς θεὸν ὑπερασπι-
στὴν, καὶ εἰς τόπον ὀχυρὸν
τοῦ σῶσαι με.
Ὅτι στερέωμά μου καὶ κατα-
φυγή μου εἶ σύ.
Ὁ θεός μου ῥῦσαι με ἐκ χει-
ρὸς ἁμαρτωλοῦ. ἐκ χειρὸς
παρανομοῦντος καὶ ἀδι-
κοῦντος.
Ὅτι σὺ εἶ ἡ ὑπομονή μου. κύριε
ἡ ἐλπίς μου ἐκ νεότητός μου
ἐπὶ σὲ ἐπεστηρίχθην ἀπὸ γα-
στρός. ἐκ κοιλίας τῆς μητρός

Adiutor mei & liberator mei es
tu. domine ne moreris.

Gloria. Sessio decima. Dauid psal
mus filiorum Ionadab &
primorum captiuorum.
sine titulo apud hebræos.
lxx.

I n te domine speraui
non confundar
in æternum.
in iusticia tui libera
me & eripe me.
Inclina ad me aurem tui.
& salua me.
Esto mihi in deum protecto-
rem. & in locum munitum
saluare me.
Quoniam firmamentum mei & re
fugium mei es tu
Deus mei libera me ex ma-
nu peccatoris. ex manu
iniqui & iniu-
sti.
Quoniam tu es patientia mei. dōie
spes mei ex iuuentute mei.
In te confirmatus sum ab
utero. ex uentre matris

μου σὺ εἶ σκεπαστής.
ἐν σοὶ ἡ ὕμνησίς μου διαπαν-
τός. ὡσεὶ τέρας ἐγενήθην
τοῖς πολλοῖς. καὶ σὺ βοηθός
μου κραταιός.
Πληρωθήτω τὸ στόμα μου
αἰνέσεως. ὅπως ὑμνήσω
τὴν δόξαν σου ὅλην τὴν ἡ-
μέραν τὴν μεγαλοπρέπει-
άν σου.
Μὴ ἀπορρίψῃς με εἰς καιρὸν
γήρως, ἐν τῷ ἐκλείπειν τὴν
ἰσχύν μου μὴ ἐγκαταλίπῃς
με.
Ὅτι εἶπον οἱ ἐχθροί μου ἐμοί.
καὶ οἱ φυλάσσοντες τὴν ψυχήν
μου ἐβουλεύσαντο ἐπὶ τὸ αὐτό.
Λέγοντες ὁ θεὸς ἐγκατέλιπεν
αὐτόν. καταδιώξατε καὶ κα-
ταλάβετε αὐτὸν ὅτι οὐκ ἔστιν
ὁ ῥυόμενος.
Ὁ θεός μου μὴ μακρύνῃς ἀ-
πʼ ἐμοῦ. ὁ θεός μου εἰς τὴν
βοήθειάν μου πρόσχες.
Αἰσχυνθήτωσαν καὶ ἐκλει-
πέτωσαν οἱ ἐνδιαβάλλον-
τες τὴν ψυχήν μου.
Περιβαλέσθωσαν αἰσχύνην
καὶ ἐντροπὴν οἱ ζητοῦντες

mei tu es protector.
In te laus mei sem-
per. tanq̄ prodigium factus sum
multis. & tu adiutor
mei fortis.
Impleatur os mei
laudis. ut laudem
gloriam tui totam di-
em deco-
rem tui.
Ne proiicias me in tempus
senectutis. in deficere
uirtutem mei ne derelinquas
me.
Quoniā dixerūt inimici mei mihi
& custodientes animam
mei consultauerunt in unum
Dicentes deus dereliquit
eum. persequimini & comprehen
dite eum quoniam non est
eripiens.
Deus mei ne elongeris a
me. deus mei in
auxilium mei attende
Confundantur & defici-
ant criminan
tes animam mei.
Induantur confusionem
& reuerentiam quærentes

τὰ κακά μοι.
ἐγὼ δὲ διαπαντὸς ἐλπιῶ
ἐπὶ σέ καὶ προσθήσω ἐπὶ
πᾶσαν τὴν αἴνεσίν σου.
τὸ στόμα μου ἀναγγελεῖ τὴν
δικαιοσύνην σου. ὅλην τὴν
ἡμέραν τὴν σωτηρίαν σου.
ὅτι οὐκ ἔγνων γραμματείας
εἰσελεύσομαι ἐν δυναστεί-
ᾳ κυρίου. κύριε μνησθήσομαι
τῆς δικαιοσύνης σου μόνου.
ὁ θεός μου ἃ ἐδίδαξάς με
ἐκ νεότητός μου, καὶ μέχρι
νῦν ἀπαγγελῶ τὰ θαυμάσια
σου.
Καὶ ἕως γήρως καὶ πρεσβεί
ου ὁ θεός μου μὴ ἐγκαταλί
πῃς με.
ἕως ἂν ἀπαγγελῶ τὸν βρα-
χίονά σου τῇ γενεᾷ πάσῃ
τῇ ἐρχομένῃ.
τὴν δυναστείαν σου καὶ τὴν
δικαιοσύνην σου ὁ θεὸς ἕ-
ως τῶν ὑψίστων ἃ ἐποίη
σας μοι μεγαλεῖα. ὁ θεὸς τίς
ὅμοιός σοι;
ὅσας ἔδειξάς μοι θλίψεις πολ
λὰς καὶ κακὰς καὶ ἐπιστρέ
ψας ἐζωοποίησάς με. καὶ ἐκ τῶν

mala mihi.
Ego autem semper sperabo
in te. & apponam super
omnem laudem tui.
Os mei annuntiabit
iusticiam tui. totam
diem salutem tui.
Quoniam non cognoui litteraturas
introibo in poten-
tia domine. domine recordabor
iusticiæ tui solius.
Deus mei quæ docuisti me
a iuuentute mei. & usq;
nunc annuntiabo mirabilia
tui.
Et usq; senectam & se
nium deus mei ne derelin
quas me.
Donec annuntiem bra
chium tui generationi omni
uenienti.
Potentiam tui &
iusticiam tui deus us
que altissima quæ feci-
sti mihi magnalia. deus quis
similis tibi?
Quantas ostendisti mihi tribulatio
nes multas & malas & conuer-
tens uiuificasti me. & ex

τῶν ἀβύσσων τῆς γῆς ἀνήγα-
γές με.
ἐπλεόνασας ἐπ' ἐμὲ τὴν μεγα-
λωσύνην σου, καὶ ἐπιστρέψας
παρεκάλεσάς με. καὶ ἐκ τῶν
ἀβύσσων τῆς γῆς πάλιν ἀνή-
γαγές με.
Καὶ γὰρ ἐγὼ ἐξομολογήσομαι
σοὶ ἐν λαοῖς κύριε ἐν σκεύε-
σι ψαλμοῦ τὴν ἀλήθειάν σου
ὁ θεὸς ψαλῶ σοὶ ἐν κιθάρᾳ
ὁ ἅγιος τοῦ ἰσραήλ.
Ἀγαλλιάσονται τὰ χείλη μου
ὅταν ψάλω σοι καὶ ἡ ψυχή
μου ἣν ἐλυτρώσω.
ἔτι δὲ καὶ ἡ γλῶσσα μου ὅ-
λην τὴν ἡμέραν μελετή-
σει τὴν δικαιοσύνην σου. ὅ-
ταν αἰσχυνθῶσι καὶ ἐντρα-
πῶσιν οἱ ζητοῦντες τὰ κα-
κά μοι.

εἰς σαλομῶν ψαλμός. οα.

ὁ θεὸς τὸ κρῖμα σου
τῷ βασιλεῖ δός
καὶ τὴν δικαιοσύ-
νην σου τῷ υἱῷ τοῦ βασιλέ-
ως.

abyssis terræ reduxi
sti me.
Multiplicasti super me magnifi-
centiam tui. & conuertens
consolatus es me. & ex
abyssis terræ iterum reduxi-
sti me.
Et enim ego confitebor
tibi in populis domine in ua-
sis psalmi ueritatem tui
deus psallam tibi in cithara
sanctus israel.
Exultabunt labia mei
cum cantauero tibi. & anima
mei quam redemisti.
Insuper & lingua mei to-
tam diem meditabi-
tur iusticiam tui.
cum confusi fuerint & reueri-
ti fuerint quærentes ma-
la mihi.

In Salomonem psalmus. lxxi.

d eus iudicium tui
regi da.
& iustici-
am tui filio re-
gis.

κρίνειν τὸν λαόν σου ἐν δικαι-
οσύνῃ. καὶ τοὺς πτωχούς σου
ἐν κρίσει.
ἀναλαβέτω τὰ ὄρη εἰρήνην
τῷ λαῷ. καὶ οἱ βουνοὶ δικαι-
οσύνην.
κρινεῖ τοὺς πτωχοὺς τοῦ λα-
οῦ καὶ σώσει τοὺς υἱοὺς
τῶν πενήτων. καὶ ταπεινώ-
σει συκοφάντην
καὶ συμπαραμενεῖ τῷ ἡ-
λίῳ καὶ πρὸ τῆς σελήνης,
γενεὰς γενεῶν.
καταβήσεται ὡς ὑετὸς ἐπὶ
πόκον. καὶ ὡσεὶ σταγὼν ἡ στά-
ζουσα ἐπὶ τὴν γῆν.
ἀνατελεῖ ἐν ταῖς ἡμέραις
αὐτοῦ δικαιοσύνη καὶ πλῆ-
θος εἰρήνης ἕως οὗ ἀντα-
ναιρεθῇ ἡ σελήνη.
καὶ κατακυριεύσει ἀπὸ θα-
λάσσης ἕως θαλάσσης. καὶ
ἀπὸ ποταμῶν ἕως περά-
των τῆς γῆς.
ἐνώπιον αὐτοῦ προπεσοῦν-
ται αἰθίοπες. καὶ οἱ ἐχθροὶ
αὐτοῦ χοῦν λείξουσι.
βασιλεῖς θαρσεῖς καὶ νῆσοι
δῶρα προσοίσουσι. βασιλεῖς

Iudicare populum tuũ in iusti-
cia. & pauperes tui
in iudicio.
Suscipiant montes pacem
populo. & colles iusti
ciam.
Iudicabit pauperes popu-
li & saluabit filios
pauperum & humilia-
bit calumniatorem
Et compermanebit so-
li & ante lunam
generationis generationum.
Descendet ut pluuia in
uellus. & ut stilla stil-
lans super terras.
Orietur in diebus
eius iusticia & multi-
tudo pacis usque quo aufe
ratur luna.
Et dominabitur a ma-
ri usque mare: &
a fluminibus usque fi
nes terræ.
Coram eo proci-
dent æthiopes: & inimici
eius terram lingent.
Reges tharsis & insulæ
munera offerent. reges

| | |
|---|---|
| ἀράβων. καὶ σαβὰ δῶρα | arabum & saba dona |
| προσάξουσι. | adducent. |
| Καὶ προσκυνήσουσιν αὐτῷ | Et adorabunt ei |
| πάντες οἱ βασιλεῖς τῆς γῆς. | omnes reges terræ. |
| πάντα τὰ ἔθνη δουλεύσου- | omnes gentes serui- |
| σιν αὐτῷ. | ent ei. |
| Ὅτι ἐρρύσατο πτωχὸν ἐκ δυνά- | Quia liberauit pauperem ex poten |
| στου. καὶ πένητα ᾧ οὐχ ὑπῆρ- | te. & pauperem cui non e- |
| χε βοηθός. | rat adiutor. |
| φείσεται πτωχοῦ καὶ πένη- | Parcet pauperis & mo- |
| τος. καὶ ψυχὰς πενήτων σώ- | pis. & animas pauperum salua- |
| σει. | bit. |
| ἐκ τόκου καὶ ἐξ ἀδικίας λυ- | Ex usuris & ex iniquitate redi- |
| τρώσεται τὰς ψυχὰς αὐ- | met animas eo- |
| τῶν. καὶ ἔντιμον τὸ ὄνομα | rum. & honorabile nomen |
| αὐτοῦ ἐνώπιον αὐτῶν. | eius coram eis. |
| Καὶ ζήσεται καὶ δοθήσεται αὐ- | Et uiuet & dabitur e- |
| τῷ ἐκ τοῦ χρυσίου τῆς ἀρα- | i ex auro ara- |
| βίας, καὶ προσεύξονται περὶ | biæ. & adorabunt de |
| αὐτοῦ διαπαντὸς ὅλην τὴν | ipso semper totam |
| ἡμέραν εὐλογήσουσιν αὐτόν. | diem benedicent eum. |
| ἔσται στήριγμα ἐν τῇ γῇ ἐπ᾽ ἄκρων | Erit firmamentũ in terra ĩ sũmis |
| τῶν ὀρέων. ὑπὲρ ἀρθήσεται | montium. super eleuabitur |
| ὑπὲρ τὸν λίβανον ὁ καρπὸς | super libanum fructus |
| αὐτοῦ καὶ ἐξανθήσουσιν ἐκ | eius. & florebunt ex |
| πόλεως ὡσεὶ χόρτος τῆς γῆς. | ciuitate sicut foenum terræ. |
| ἔσται τὸ ὄνομα αὐτοῦ εὐλογη- | Erit nomen eius benedi |
| μένον εἰς τοὺς αἰῶνας. πρὸ | ctum in sæcula. ante |
| τοῦ ἡλίου διαμενεῖ τὸ ὄνο- | solem permanet no- |

μα αὐτοῦ.
Καὶ εὐλογηθήσονται ἐν αὐ-
τῷ πᾶσαι αἱ φυλαὶ τῆς
γῆς. πάντα τὰ ἔθνη μακαριοῦ-
σιν αὐτόν.
Εὐλογητὸς κύριος ὁ θεὸς ἰσρα-
ἠλ. ὁ ποιῶν θαυμάσια μόνος.
Καὶ εὐλογημένον τὸ ὄνομα
τῆς δόξης αὐτοῦ εἰς τὸν αἰῶ-
να καὶ εἰς τὸν αἰῶνα τοῦ
αἰῶνος. καὶ πληρωθήσεται
τῆς δόξης αὐτοῦ πᾶσα ἡ γῆ
γένοιτο γένοιτο.

Δο. ἐξέλιπον οἱ ὕμνοι δαυὶδ
τοῦ υἱοῦ ἰεσσαὶ ψαλμὸς τῷ
ἀσάφ. οβ.

ὡ ς ἀγαθὸς ὁ θεὸς
τῷ ἰσραὴλ τοῖς εὐθέσι
καρδίᾳ.
Ἐμοῦ δὲ παρὰ μικρὸν ἐσαλεύ-
θησαν οἱ πόδες. παρ' ὀλίγον ἐξε-
χύθη τὰ διαβήματά μου.
Ὅτι ἐζήλωσα ἐπὶ τοῖς ἀνόμοις
εἰρήνην ἁμαρτωλῶν θεωρῶν.
Ὅτι οὐκ ἔστιν ἀνάνευσις ἐν τῷ
θανάτῳ αὐτῶν. καὶ στερέωμα
ἐν τῇ μάστιγι αὐτῶν.

men eius.
Et benedicentur in e-
o omnes tribus
terræ omnes gentes beatifi
cabunt eum.
Benedictus dominus deus isra-
el. faciens mirabilia solus.
Et benedictum nomen
maiestatis eius in æter-
num, & in sæculum
sæculi. & implebitur
maiestatis eius omnis terra
fiat fiat.

Gloria. defecerit hymni david
filii Iessæ. psalmus
Asaph. lxxii.

q uam bonus deus
Israel rectis
corde.
Mei autem poene mo-
ti sunt pedes. poene effu
si sunt gressus mei.
Quoniam zelaui super iniquos
pacem peccatorum uidens.
Quia non est declinatio in
morte eorum: & firmamentum
in plaga eorum.

ἐν κόποις ἀνθρώπων οὐκ εἰσίν.
καὶ μετὰ ἀνθρώπων οὐ μαστι-
γωθήσονται.
Διατοῦτο ἐκράτησεν αὐτοὺς ἡ
ὑπερηφανία τέλος περιε-
βάλοντο ἀδικίαν καὶ ἀσέβειαν
ἐξελεύσεται ὡς ἐκ στέατος ἡ
ἀδικία αὐτῶν. διήλθοσαν εἰς
διάθεσιν καρδίας.
Διενοήθησαν καὶ ἐλάλησαν
ἐν πονηρίᾳ. ἀδικίαν εἰς τὸ
ὕψος ἐλάλησαν.
ἔθεντο εἰς οὐρανὸν τὸ στόμα
αὐτῶν. καὶ ἡ γλῶσσα αὐτῶν
διῆλθεν ἐπὶ τῆς γῆς.
Διατοῦτο ἐπιστρέψει ὁ λαός
μου ἐνταῦθα. καὶ ἡμέραι
πλήρεις εὑρεθήσονται ἐν αὐ-
τοῖς.
Καὶ εἶπον πῶς ἔγνω ὁ θεός.
καὶ εἰ ἔστι γνῶσις ἐν τῷ ὑ-
ψίστῳ.
Ἰδοὺ οὗτοι ἁμαρτωλοὶ καὶ
εὐθηνοῦντες εἰς τὸν αἰῶ-
να κατέσχον πλούτου
Καὶ εἶπα ἄρα ματαίως ἐδι-
καίωσα τὴν καρδίαν μου.
καὶ ἐνιψάμην ἐν ἀθώοις
τὰς χεῖρας μου.

In laboribus hominum non sunt.
& cum hominibus non flagella-
buntur.
Ideo tenuit eos
superbia in finem indue
runt iusticiam & impietatem.
Prodibit quasi ex adipe
iniusticia eorum. transierunt in
affectum cordis.
Cogitauerunt & locuti sunt
in nequitia. iniusticiam in
excelsum locuti sunt.
Posuerunt in cælum os
eorum. & lingua eorum
transiuit in terra.
Ideo conuertet populus
meus hic. & dies
pleni inuenientur in e-
is.
Et dixi quomodo cognouit deus.
& si est scientia in ex-
celso.
Ecce hi peccatores &
abundantes in sæcu
lum possidebunt diuitias.
Et dixi ergo frustra iustifi
caui cor mei.
& laui inter innocentes
manus mei.

Καὶ ἐγενόμην μεμαστιγωμένος
ὅλην τὴν ἡμέραν. καὶ ὁ ἔ
λεγχός μου εἰς τὰς πρωΐας.
εἰ ἔλεγον διηγήσομαι οὕτως
ἰδοὺ τῇ γενεᾷ τῶν υἱῶν σου
ἠσυνθέτηκας.
Καὶ ὑπέλαβον τοῦ γνῶναι τοῦ
το κόπος ἐστὶν ἐνώπιόν μου,
ἕως οὗ εἰσέλθω εἰς τὸ ἁγια
στήριον τοῦ θεοῦ. καὶ συνῶ εἰς
τὰ ἔσχατα αὐτῶν.
Πλὴν διὰ τὰς δολιότητας αὐ
τῶν ἔθου αὐτοῖς κακά. κατέ
βαλες αὐτοὺς ἐν τῷ ἐπαρθῆναι.
Πῶς ἐγένοντο εἰς ἐρήμωσιν ἐξά
πινα. ἐξέλιπον, ἀπώλοντο δι
ὰ τὴν ἀνομίαν αὐτῶν.
Ὡσεὶ ἐνύπνιον ἐξεγειρομένου κύ
ριε ἐν τῇ πόλει σου τὴν εἰκόνα
αὐτῶν ἐξουδενώσεις.
Ὅτι ἐξεκαύθη ἡ καρδία μου καὶ
οἱ νεφροί μου ἠλλοιώθησαν κἀ
γὼ ἐξουδενωμένος καὶ οὐκ ἔ
γνων.
Κτηνώδης ἐγενήθην παρὰ σοὶ
κἀγὼ διαπαντὸς μετὰ σοῦ.
ἐκράτησας τῆς χειρὸς τῆς
δεξιᾶς μου, καὶ ἐν τῇ βουλῇ
σου ὡδήγησάς με, καὶ μετὰ

Et fui flagellatus
totam diem. & in-
dex mei in matutinas.
Si dicebam narrabo sic
ecce nationi filiorum tui
reprobasti.
Et existimabam cognoscere
hoc labor est coram mei.
Donec intraro in sanctua
rium dei. & intelligam in
nouissima eorum.
Veruntamen pp̄ dolositates eo-
rum posuisti eis mala. deie-
cisti eos in eleuari.
Quomodo facti sunt ĩ desolatiōe͂
subito. defecerunt perierunt pro-
pter iniquitatem eorum
Velut somnium exurgentis do-
mine in ciuitate tui imaginem
eorum abolebis.
Quoniam exarsit cor mei. &
renes mei mutati sunt. &
ego ad nihilũ redactus & nō co
gnoui.
Iumentalis factus sum apud te
& ego semper cum te.
Tenuisti manum
dexteram mei. & in uoluntate
tui deduxisti me. & cum

- Reliqui -

δόξης προσελάβου με.
Τί γάρ μοι ὑπάρχει ἐμ τῷ οὐ-
ραμῷ. καὶ παρὰ σὲ τί ἠθέλησα
ἐπὶ τῆς γῆς.
Ἐξέλιπεμ ἡ καρδία μου καὶ ἡ
σάρξ μου ὁ θεὸς τῆς καρδί-
ας μου, καὶ ἡ μερίς μου ὁ θεὸς
εἰς τὸμ αἰῶμα.
Ὅτι ἰδοὺ οἱ μακρύμομτες ἑαυ-
τοὺς ἀπὸ σοῦ ἀπολοῦνται. ἐξω-
λόθρευσας πάμτα τὰ πορ-
μεύομτα ἀπὸ σοῦ.
Ἐμοὶ δὲ τὸ προσκολλᾶσθαι
τῷ θεῷ ἀγαθόμ ἐστιμ. τίθεσθαι
ἐμ τῷ κυρίῳ τὴμ ἐλπίδα μου.
Τοῦ ἐξαγγεῖλαι με πάσας τὰς
αἰμέσεις σου ἐμ ταῖς πύλαις
τῆς θυγατρὸς σιώμ.

Συμέσεως τῷ ἀσάφ. ογ.

ι μάτι ὁ θεὸς ἀπώσω
εἰς τέλος ὠργίσθη ὁ
θυμός σου. ἐπὶ πρόβατα τῆς
μομῆς σου.
Μμήσθητι τῆς συμαγωγῆς σου
ἧς ἐκτίσω ἀπ' ἀρχῆς.
Ἐλυτρώσω ῥάβδῳ κληρομομί-
αμ σου ὄρος σιώμ τοῦτο ὃ κα-

gloria suscepisti me.
Quid enim mihi est in cæ-
lo & præter te quid uolui
super terra.
Defecit cor mei &
caro mei. deus cor-
dis mei & pars mei deus
in sæcula.
Quoniam ecce elongantes se-
ipsos a te peribunt. disper-
sisti omnia forni-
cantia abs te.
Mihi autem adhærere
deo bonum est. ponere
in domino spem mei.
Annuntiare me omnes
laudationes tui in portis
filiæ Sion.

Intellectus Asaph. lxxiii.

u t quid deus repulisti
in finem iratus est
furor tui super oues
pascuæ tui.
Memento congregationis tui
quam creasti ab initio.
Liberasti uirga hæredita-
tem tui. mons sion hic quem ha-

τεσκήνωσας ἐν αὐτῷ.
ἔπαρον τὰς χεῖρας σου ἐπὶ
τὰς ὑπερηφανίας αὐτῶν. ὅ-
σα ἐπονηρεύσατο ὁ ἐχθρὸς
ἐν τῷ ἁγίῳ σου.
Καὶ ἐνεκαυχήσαντο οἱ μισοῦν-
τες σε ἐν μέσῳ τῆς ἑορτῆς
σου.
ἔθεντο τὰ σημεῖα αὐτῶν ση-
μεῖα καὶ οὐκ ἔγνωσαν ὡς εἰς
τὴν ἔξοδον ὑπεράνω.
ὡς ἐν δρυμῷ ξύλων ἀξίναις
ἐξέκοψαν τὰς θύρας αὐτῆς ἐ-
πιτοαυτὸ. ἐν πελέκει καὶ λα-
ξευτηρίῳ κατέρραξαν αὐτήν.
ἐνεπύρισαν ἐν πυρὶ τὸ ἁγια-
στήριόν σου. εἰς τὴν γῆν ἐβεβή-
λωσαν τὸ σκήνωμα τοῦ ὀνόμα-
τος σου.
εἶπον ἐν τῇ καρδίᾳ αὐτῶν
αἱ συγγένειαι αὐτῶν ἐπιτοαυ-
τό. δεῦτε καὶ καταπαύσω-
μεν τὰς ἑορτὰς τοῦ θεοῦ ἀπὸ
τῆς γῆς.
Τὰ σημεῖα αὐτῶν οὐκ εἴδομεν
καὶ οὐκ ἔστιν ἔτι προφήτης καὶ
ἡμᾶς οὐ γνώσεται ἔτι.
ἕως πότε ὁ θεὸς ὀνειδιεῖ ὁ
ἐχθρὸς. παροξυνεῖ ὁ ὑπεναντί

bitasti in eo.
Eleua manus tui in
superbias eorum. quan-
ta malignatus est inimicus
in sancto tui.
Et gloriati sunt odien
tes te in medio solennitatis
tui.
Posuerunt signa eorum si-
gna. & non cognouerunt sicut
in exitum supra.
Sicut in sylua lignorum securibus
exciderunt ianuas eius
in idipsum. in bipenni & a
scia deiecerunt eam
Incenderunt in igni sanctu-
arium tui. in terram pollue-
runt tabernaculum nomi-
nis tui.
Dixerunt in corde eorum
generationes eorum si
mul. uenite & aufe-
ramus festa dei a
terra.
Signa eorum non uidimus.
& non est amplius propheta &
nos non agnoscet amplius.
Usquequo deus improperabit ini-
micus. irritabit aduersa

ος τὸ ὄνομά σου εἰς τέλος.
Ἱνατί ἀποστρέφεις τὴν χεῖρα
σου καὶ τὴν δεξιάν σου ἐκ μέ-
σου τοῦ κόλπου σου εἰς τέ
λος.
Ὁ δὲ θεὸς βασιλεὺς ἡμῶν πρὸ
αἰώνος. εἰργάσατο σωτηρίαν
ἐν μέσῳ τῆς γῆς.
Σὺ ἐκραταίωσας ἐν τῇ δυνά-
μει σου θάλασσαν. σὺ συνέθλα
σας τὰς κεφαλὰς τῶν δρα-
κόντων ἐπὶ τοῦ ὕδατος.
Σὺ συνέθλασας τὴν κεφαλὴν
τοῦ δράκοντος. ἔδωκας αὐ
τὸν βρῶμα λαοῖς τοῖς αἰθί
οψι.
Σὺ διέρρηξας πηγὰς καὶ χει
μάρρους. σὺ ἐξήρανας ποτα
μοὺς ἠθάμ.
Σή ἐστιν ἡ ἡμέρα καὶ σή ἐστιν ἡ
νύξ. σὺ κατηρτίσω φαῦσιν
καὶ ἥλιον.
Σὺ ἐποίησας πάντα τὰ ὡραῖα
τῆς γῆς. θέρος καὶ ἔαρ σὺ ἔ
πλασας αὐτά.
Μνήσθητι ταύτης ἐχθρὸς ὠνεί
δισε τὸν κύριον. καὶ λαὸς ἄ-
φρων παρώξυνε τὸ ὄνομα
αὐτοῦ.

rius nomen tui in finem.
Vt quid auertis manum
tui & dexteram tui ex me
dio ſinus tui in fi
nem.
Sed deus noſtrum ante
ſæculũ. operatus eſt ſalutem
in medio terræ.
Tu confirmaſti in uirtu
te tui mare. tu contriui-
ſti capita draco
num in aqua.
Tu confregiſti caput
draconis. dediſti e-
um eſcam populis æthi-
opibus.
Tu dirupiſti fontes & tor
rentes. tu ſiccaſti flu-
uios Etham.
Tuus eſt dies. & tua eſt
nox. tu præparaſti lumen
& ſolem.
Tu feciſti omnia ſpecioſa
terræ. æſtatem & uer tu fe-
ciſti ea.
Memento huius inimicus imprope
rauit dominum. & populus inſi-
piens incitauit nomen
eius.

Μὴ παραδῷς τοῖς θηρίοις ψυ-
χὴν ἐξομολογουμένην σοι. τῶν
ψυχῶν τῶν πενήτων σου μὴ
ἐπιλάθῃ εἰς τέλος.

Ne tradas beſtiis ani-
mam confitentem tibi,
animarum pauperum tui ne
obliuiſcaris in finem.

Ἐπίβλεψον εἰς τὴν διαθήκην
σου, ὅτι ἐπληρώθησαν οἱ ἐσκο-
τισμένοι τῆς γῆς οἴκων ἀνομι-
ῶν.

Reſpice in teſtamentum
tui quoniam impleti ſunt obſcu-
rati terræ domorum iniqui-
tatum.

Μὴ ἀποστραφήτω τεταπεινω-
μένος κατῃσχυμμένος. πτω-
χὸς καὶ πένης αἰνέσουσι τὸ ὄ-
νομά σου.

Ne auertatur humilia-
tus confuſus. mendi-
cus & pauper laudabunt no-
men tui.

Ἀνάστα ὁ θεὸς δίκασον τὴν δί-
κην σου. μνήσθητι τοῦ ὀνειδι-
σμοῦ σου τοῦ ὑπὸ ἄφρονος ὅ-
λην τὴν ἡμέραν.

Exurge deus iudica cau-
ſam tui. memento obpro-
brii tui ab inſipiente to-
tam diem.

Μὴ ἐπιλάθῃ τῆς φωνῆς τῶν
ἱκετῶν σου. ἡ ὑπερηφανία τῶν
μισούντων σε ἀνέβη διαπαν-
τός.

Non obliuiſcaris uocis
ſupplicum tui. ſuperbia
odientium te aſcendit ſem-
per.

Δό. εἰς τὸ τέλος μὴ διαφθεί-
ρῃς τῷ ἀσὰφ ψαλμὸς ᾠδῆς.
οδ.

Gloria. In finem ne corrum-
pas Aſaph pſalmus cantici.
Lxxiiii.

Ἐξομολογησόμεθά σοι
ὁ θεὸς ἐξομολογησόμε-
θά σοι. καὶ ἐπικαλεσόμεθα τὸ
ὄνομά σου

Confitebimur tibi
deus confitebi-
mur tibi & inuocabimus
nomen tui.

Διηγήσομαι πάντα τὰ θαυμά
σιά σου. ὅταν λάβω καιρὸν ἐ
γὼ εὐθύτητας κρινῶ.
ἐτάκη ἡ γῆ καὶ πάντες οἱ κατοι
κοῦντες ἐν αὐτῇ. ἐγὼ ἐστερέ
ωσα τοὺς στύλους αὐτῆς.
εἶπα τοῖς παρανομοῦσι μὴ πα
ρανομεῖτε. καὶ τοῖς ἁμαρτά
νουσι μὴ ὑψοῦτε κέρας
μὴ ἐπαίρετε εἰς ὕψος τὸ κέρας
ὑμῶν. καὶ μὴ λαλεῖτε κατὰ
τοῦ θεοῦ ἀδικίαν.
ὅτι οὔτε ἐξ ἀνατολῶν οὔτε ἀ
πὸ δυσμῶν οὔτε ἀπὸ ἐρή
μων ὀρέων, ὅτι ὁ θεὸς κρι
τής ἐστι.
τοῦτον ταπεινοῖ καὶ τοῦτον ὑ
ψοῖ. ὅτι ποτήριον ἐν χειρὶ κυ
ρίου οἴνου ἀκράτου πλῆρες
κεράσματος.
Καὶ ἔκλινεν ἐκ τούτου εἰς τοῦ-
το, πλὴν ὁ τρυγίας αὐτοῦ οὐκ
ἐξεκενώθη. πίονται πάντες οἱ
ἁμαρτωλοὶ τῆς γῆς.
ἐγὼ δὲ ἀγαλλιάσομαι εἰς τὸν
αἰῶνα. ψαλῶ τῷ θεῷ ἰακώβ.
Καὶ πάντα τὰ κέρατα τῶν ἁ-
μαρτωλῶν συνθλάσω. καὶ ὑ
ψωθήσεται τὸ κέρας τοῦ δικαί

Narrabo mirabi
lia tui. cum accepero tempus e-
go æquitates iudicabo.
Liquefacta est terra & omnes ha-
bitantes in ea. ego confir-
maui columnas eius.
Dixi iniquis non inique
agite. & peccanti-
bus non exaltate cornu.
Non extollite in altum cornu
uestrum. & non loquimini ad
uersus deum iniusticiam
Quoniam neq; ab oriente neque
ab occidente neque a deser
tis montibus quoniam deus iu
dex est.
Hunc humiliat & hunc exal
tat. quoniam calix in manu do-
mini uini meri plenus
mixto.
Et inclinauit ex hoc in
hoc. ueruntamen fæx eius non
exhausta est. bibent omnes
peccatores terræ.
exultabo
Ego autem annuntiabo in sæ
culum. cantabo deo Iacob.
Et omnia cornua pecca
torum confringam. & exal
tabitur cornu iu-

ου.

εἰς τὸ τέλος ψαλμὸς ἐν ὕ-
μνοις ᾠδὴ τῷ ἀσάφ.
πρὸς τὸν ἀσσύριον. οε.

Γ νωστὸς ἐν τῇ ἰουδαίᾳ
ὁ θεός. ἐν τῷ ἰσραὴλ
μέγα τὸ ὄνομα αὐτοῦ
Καὶ ἐγενήθη ἐν εἰρήνῃ ὁ τόπος
αὐτοῦ. καὶ τὸ κατοικητήριον
αὐτοῦ ἐν σιών.
ἐκεῖ συνέτριψε τὰ κράτη τῶν
τόξων. ὅπλον καὶ ῥομφαίαν
καὶ πόλεμον.
φωτίζεις σὺ θαυμαστῶς ἀπὸ ὀ-
ρέων αἰωνίων. ἐταράχθησαν
πάντες οἱ ἀσύνετοι τῇ καρδίᾳ.
ὕπνωσαν ὕπνον αὐτῶν καὶ
οὐχ εὗρον οὐδὲν πάντες οἱ
ἄνδρες τοῦ πλούτου ταῖς χερ-
σὶν αὐτῶν.
Ἀπὸ ἐπιτιμήσεως σοῦ ὁ θεὸς
ἰακώβ. ἐνύσταξαν οἱ ἐπιβεβηκό-
τες τοῖς ἵπποις.
Σὺ φοβερὸς εἶ καὶ τίς ἀντιστήσε-
ταί σοι. ἀπὸ τότε ἡ ὀργή σου
ἐκ τοῦ οὐρανοῦ ἠκούτισας κρί-
σιν. γῆ ἐφοβήθη καὶ ἡσύχασεν.

sti.

In finem psalmus in hy-
mnis canticum Asaph
aduersus assyrium. lxxv

n otus in iudæa
deus in israel
magnum nomen eius.
Et factus est in pace locus
eius & habitatio
eius in Sion.
Ibi confregit potentias
arcuum. scutum & gladium
& bellum.
Illuminas tu mirabiliter a mon-
tibus æternis. turbati sunt
omnes insipientes corde.
Dormierunt somnum eorum &
non inuenerunt omnes
uiri diuitiarum mani-
bus eorum.
Ab increpatione tui deus
Iacob dormitauerunt ascenden-
tes equos.
Tu terribilis es. & quis resi-
stet tibi. ex tunc ira tui.
Ex cælo audire fecisti iudi-
cium terra tremuit & quieuit.

ἐν τῷ ἀναστῆναι εἰς κρίσιν τὸν
θεόν. τοῦ σῶσαι πάντας τοὺς
πρᾳεῖς τῆς γῆς.
Ὅτι ἐνθύμιον τοῦ ἀνθρώπου
ἐξομολογήσεταί σοι. καὶ ἐγκατά
λειμμα τοῦ ἐνθυμίου ἑορτά-
σει σοι.
Εὔξασθε καὶ ἀπόδοτε κυρίῳ
τῷ θεῷ ἡμῶν. πάντες οἱ κύ
κλῳ αὐτοῦ οἴσουσι δῶρα.
Τῷ φοβερῷ καὶ ἀφαιρουμένῳ
πνεύματα ἀρχόντων. φοβερῷ
παρὰ τοῖς βασιλεῦσι τῆς γῆς.

Εἰς τὸ τέλος ὑπὲρ ἰδιθοὺμ
ψαλμὸς τῷ ἀσάφ. οϛ.

Φ ωνῇ μου πρὸς κύριον
ἐκέκραξα. φωνῇ μου
πρὸς τὸν θεὸν καὶ προσέσχε
μοι.
Ἐν ἡμέρᾳ θλίψεώς μου τὸν θε
ὸν ἐξεζήτησα ταῖς χερσί μου
νυκτὸς ἐναντίον αὐτοῦ καὶ
οὐκ ἠπατήθην.
Ἀπηνήνατο παρακληθῆναι ἡ
ψυχή μου ἐμνήσθην τοῦ θεοῦ
καὶ εὐφράνθην. ἠδολέσχησα καὶ
ὠλιγοψύχησε τὸ πνεῦμά μου.

In resurgendo in iudicium
deum. saluare omnes
mansuetos terræ.
Quoniam cogitatio hominis
confitebitur tibi. & reli-
quum cogitationis diem festum a
get tibi.
Vouete & reddite domino
deo uestrum. omnes cir
ca eum ferent munera.
Terribili & auferenti
spiritus principum. terribili
apud reges terræ.

In finem pro Idithum
psalmus Asaph. lxxvi.

u oce mei ad dominum
clamaui. uoce mei
ad dominum deum & attendit
mihi.
In die tribulationis mei de
um exquisiui manibus mei
nocte coram eo &
non sum deceptus.
Renuit consolari
anima mei. memor fui dei
& lætatus sum exercitatus sum. &
defecit paulusper spiritus mei.

Προκατελάβοντο φυλακὰς οἱ
ὀφθαλμοί μου. ἐταράχθην καὶ
οὐκ ἐλάλησα.
Διελογισάμην ἡμέρας ἀρχαί-
ας. καὶ ἔτη αἰώνια ἐμνή-
σθην.
Καὶ ἐμελέτησα νυκτὸς μετὰ
τῆς καρδίας μου. ἠδολέσ-
χουν καὶ ἔσκαλλε τὸ πνεῦ-
μά μου.
Μὴ εἰς τοὺς αἰῶνας ἀπώσεται
κύριος καὶ οὐ προσθήσει τοῦ
εὐδοκῆσαι ἔτι.
Ἢ εἰς τέλος τὸ ἔλεος αὐτοῦ ἀ-
ποκόψει; συνετέλεσε ῥῆμα
ἀπὸ γενεᾶς εἰς γενεάν.
Μὴ ἐπιλήσεται τοῦ οἰκτειρῆ-
σαι ὁ θεός. ἢ συνέξει ἐν τῇ ὀρ-
γῇ αὐτοῦ τοὺς οἰκτιρμοὺς
αὐτοῦ.
Καὶ εἶπα νῦν ἠρξάμην αὕτη ἡ
ἀλλοίωσις τῆς δεξιᾶς τοῦ ὑ-
ψίστου.
Ἐμνήσθην τῶν ἔργων κυρίου.
ὅτι μνησθήσομαι ἀπὸ τῆς
ἀρχῆς τῶν θαυμασίων σου.
Καὶ μελετήσω ἐν πᾶσι τοῖς ἔρ-
γοις σου. καὶ ἐν τοῖς ἐπιτηδεύ-
μασί σου ἀδολεσχήσω.

Anticipauerunt uigilias
oculi mei turbatus sum &
non sum locutus.
Cogitaui dies anti-
quos. & annos æternos recordatus
sum.
Et meditatus sum nocte cum
corde meo. exercita
bam & uentilabat spiri-
tus mei.
Nunquid in sæcula repellet
dominus. & non apponet
complacere amplius.
Aut in finē misericordiā eius absci
det ? compleuit uerbum
a generatione in generationem.
Nunquid obliuiscetur misere
ri deus. aut continebit in i-
ra eius misericordias
eius.
Et dixi nunc coepi: hæc
mutatio dexteræ ex
celsi.
Recordatus sum operum domini.
quoniam memor ero ab
initio mirabilium tuorum.
Et meditabor in omnibus operi
bus tui. & in adinuentio-
nibus tui exercebor.

| | |
|---|---|
| Ὁ θεὸς ἐμ τῷ ἁγίῳ ἡ ὁδός σου | Deus in sancto uia tui. |
| τίς θεὸς μέγας ὡς ὁ θεὸς ἡμῶμ | quis deus magnus sicut deus noster |
| σὺ εἶ ὁ θεὸς ὁ ποιῶμ θαυμάσια. | Tu es deus faciens mirabilia. |
| ἐγνώρισας ἐμ τοῖς λαοῖς τὴμ | notificasti in populis. |
| δύναμίμ σου. | uirtutem tui. |
| ἐλυτρώσω ἐμ τῷ βραχίονί σου | Redemisti in brachio tui |
| τὸμ λαόμ σου. τοὺς υἱοὺς ἰακὼβ | populum tui. filios iacob |
| καὶ ἰωσήφ. | & ioseph. |
| εἴδοσάμ σε ὕδατα ὁ θεός | Viderunt te aquæ deus uide- |
| εἴδοσάμ σε ὕδατα καὶ ἐφοβήθη | runt te aquæ & timue- |
| σαμ ἐταράχθησαμ ἄβυσσοι. | runt turbatæ sunt abyssi multi- |
| πλῆθος ἤχου ὑδάτωμ. φωνὴμ | tudo sonitus aquarum. uocem de |
| ἔδωκαμ αἱ νεφέλαι. | derunt nubes. |
| Καὶ γὰρ τὰ βέλη σου διαπορεύ | Et enim sagittæ tui transe- |
| ομται. φωνὴ τῆς βροντῆς σου | unt: uox tonitrui tui |
| ἐμ τῷ τροχῷ. | in rota. |
| ἔφαναμ αἱ ἀστραπαί σου τῇ οἰ | Illuxerunt coruscationes tui or |
| κουμένῃ. ἐσαλεύθη, καὶ ἔντρο- | bi commota est & tre |
| μος ἐγενήθη ἡ γῆ. | mens facta est terra. |
| ἐμ τῇ θαλάσσῃ ἡ ὁδός σου, καὶ | In mari uia tui & |
| αἱ τρίβοι σου ἐμ ὕδασι πολ | semitæ tui in aquis mul |
| λοῖς, καὶ τὰ ἴχνη σου οὐ γνωσ | tis & uestigia tui non co |
| θήσομται. | gnoscentur. |
| ὡδήγησας ὡς πρόβατα τὸμ | Deduxisti sicut oues |
| λαόμ σου. ἐμ χειρὶ μωϋσῆ καὶ | populum tui in manu Moysi & |
| ἀαρώμ. | Aaron. |

Συνέσεως τῷ ἀσάφ. οζ. — Intellectus Asaph. lxxvii.

π ροσέχετε λαός μου
τῷ νόμῳ μου.
κλίνατε τὸ οὖς ὑμῶν
εἰς τὰ ῥήματα τοῦ στόματός
μου.
Ἀνοίξω ἐν παραβολαῖς τὸ στό-
μα μου. φθέγξομαι προβλή
ματα ἀπ᾽ ἀρχῆς.
Ὅσα ἠκούσαμεν καὶ ἔγνωμεν αὐ
τά. καὶ οἱ πατέρες ἡμῶν διηγή
σαντο ἡμῖν.
Οὐκ ἐκρύβη ἀπὸ τῶν τέκνων αὐ
τῶν εἰς γενεὰν ἑτέραν.
Ἀπαγγέλλοντες τὰς αἰνέσεις
τοῦ κυρίου καὶ τὰς δυναστεί
ας αὐτοῦ καὶ τὰ θαυμάσια
αὐτοῦ ἃ ἐποίησε.
Καὶ ἀνέστησε μαρτύριον ἐν ἰα
κώβ. καὶ νόμον ἔθετο ἐν ἰσρα
ήλ.
Ὅσα ἐνετείλατο τοῖς πατράσιν
ἡμῶν. τοῦ γνωρίσαι αὐτὰ τοῖς
υἱοῖς αὐτῶν. ὅπως ἂν γνῶ γενε
ὰ ἑτέρα.
Υἱοὶ τεχθησόμενοι καὶ ἀναστή
σονται καὶ ἀπαγγελοῦσιν αὐ-
τὰ τοῖς υἱοῖς αὐτῶν.
Ἵνα θῶνται ἐπὶ τὸν θεὸν τὴν
ἐλπίδα αὐτῶν. καὶ μὴ ἐπιλά

a ttendite popule mei
legem mei.
Inclinate aurem uestrum
in uerba oris
mei.
Aperiam in parabolis
os mei. loquar propositio-
nis ab initio.
Quāta audiuimus & cognouimus e
a. & patres nostrum narra-
uerunt nobis.
Non sunt abscondita a filiis eo
rum in generationem alteram
Annuntiantes laudationes
domini & poten
tias eius & mirabilia
eius quæ fecit.
Et suscitauit testimonium in Ia
cob. & legem posuit in isra
el.
Quanta mandauit patribus
nostrum. manifestare ea
filiis eorum. ut cognoscat gene-
ratio altera.
Filii nascituri & exur
gent & annuntiabunt e-
a filiis eorum.
Ut ponant in deum
spem eorum. & non obliuiscan-

θῶνται τῶν ἔργων τοῦ θεοῦ. καὶ
τὰς ἐντολὰς αὐτοῦ ἐκζητήσω-
σι.
Ἵνα μὴ γένωνται ὡς οἱ πατέρες
αὐτῶν γενεὰ σκολιὰ καὶ παρα-
πικραίνουσα.
Γενεὰ ἥτις οὐ κατεύθυνε τὴν
καρδίαν ἑαυτῆς. καὶ οὐκ ἐπι-
στώθη μετὰ τοῦ θεοῦ τὸ πνεῦ-
μα αὐτῆς.
Υἱοὶ ἐφραὶμ ἐντείνοντες καὶ
διαβάλλοντες τόξοις. ἐστρά-
φησαν ἐν ἡμέρᾳ πολέμου.
Οὐκ ἐφύλαξαν τὴν διαθήκην
τοῦ θεοῦ. καὶ ἐν τῷ νόμῳ αὐ-
τοῦ οὐκ ἠβουλήθησαν πορεύε-
σθαι.
Καὶ ἐπελάθοντο τῶν εὐεργεσι-
ῶν αὐτοῦ καὶ τῶν θαυμασίων
αὐτοῦ, ὧν ἔδειξεν αὐτοῖς.
Ἐναντίον τῶν πατέρων αὐτῶν
ἃ ἐποίησε θαυμάσια ἐν γῇ αἰ-
γύπτῳ ἐν πεδίῳ τάνεως.
Διέρρηξε θάλασσαν καὶ διήγα-
γεν αὐτούς. παρέστησεν ὕδατα
ὡσεὶ ἀσκόν.
Καὶ ὡδήγησεν αὐτοὺς ἐν νεφέ-
λῃ ἡμέρας. καὶ ὅλην τὴν νύκτα
ἐν φωτισμῷ πυρός.

tur operum dei &
mandata eius exqui-
rant.
Vt non fiant sicut patres
eoꝝ generatio peruersa & exaspe
rans.
Generatio quæ non direxit
cor eius. & non credi
tus est cum deo spiri-
tus eius.
Filii ephræm intendentes &
iaculantes arcubus. conuersi
sunt in die belli.
Non custodierunt testamentum
dei & in lege e
ius non uoluerunt ambu-
lare.
Et obliti sunt benefici
orum eius & mirabilium
eius quæ ostendit eis.
Coram patribus eorum
quæ fecit mirabilia in terra æ-
gypto in campo Taneos.
Interrupit mare & perduxit
eos. statuit aquas
quasi utrem.
Et deduxit eos in nu
be diei. & totam noctem
in illuminatione ignis.

et nō credidit deo spūs eius

Διέρρηξε πέτραν ἐν ἐρήμῳ. καὶ
ἐπότισεν αὐτοὺς ὡς ἐν ἀβύσσῳ
πολλῇ.
Καὶ ἐξήγαγεν ὕδωρ ἐκ πέτρας
καὶ ἐξήγαγεν ὡς ποταμοὺς ὕδα
τα.
Καὶ προσέθεντο ἔτι τοῦ ἁμαρ-
τάνειν αὐτῷ. παρεπίκραναν
τὸν ὕψιστον ἐν ἀνύδρῳ.
Καὶ ἐξεπείρασαν τὸν θεὸν ἐν
ταῖς καρδίαις αὐτῶν. τοῦ αἰ
τῆσαι βρώματα ταῖς ψυχαῖς
αὐτῶν.
Καὶ κατελάλησαν τοῦ θεοῦ
καὶ εἶπον. μὴ δυνήσεται ὁ θε
ὸς ἑτοιμάσαι τράπεζαν ἐν ἐ-
ρήμῳ.
Ἐπεὶ ἐπάταξε πέτραν καὶ ἐρ
ρύησαν ὕδατα. καὶ χείμαρροι
κατεκλύσθησαν.
Μὴ καὶ ἄρτον δύναται δοῦναι
ἢ ἑτοιμάσαι τράπεζαν τῷ λα
ῷ αὐτοῦ.
Διὰ τοῦτο ἤκουσε κύριος καὶ
ἀνεβάλετο. καὶ πῦρ ἀνήφθη
ἐν ἰακώβ. καὶ ὀργὴ ἀνέβη ἐπὶ
τὸν ἰσραήλ.
Ὅτι οὐκ ἐπίστευσαν ἐν τῷ θεῷ.
οὐδὲ ἤλπισαν ἐπὶ τῷ σωτηρί

Interrupit petram in deserto &
irrigauit eos uelut in abysso
multa.
Et eduxit aquam ex petra.
& eduxit tanquam flumina a-
quas.
Et apposuerunt adhuc pec
care ei. exacerbauerunt
altissimum in inaquoso.
Et temptauerunt deum in
cordibus eorum. pete-
re escas animis
eorum.
Et detraxerunt deo
& dixerunt. nunquid poterit de-
us parare mensam in de-
serto.
Quoniam percussit petrā & flu
xerunt aquæ & torrentes
inundauerunt.
Nunquid & panem potest dare.
aut parare mensam po-
pulo eius.
Propterea audiuit dominus &
distulit. & ignis accensus est
in Iacob. & ira ascendit in
Israel.
Quoniā non crediderunt in deo
neque sperauerunt in saluta

ῳ αὐτοῦ.
Καὶ ἐνετείλατο νεφέλαις ὑπε-
ράνωθεν, καὶ θύρας οὐρανοῦ ἀνέ-
ῳξε.
Καὶ ἔβρεξεν αὐτοῖς μάννα φα-
γεῖν. καὶ ἄρτον οὐρανοῦ ἔδωκεν
αὐτοῖς.
Ἄρτον ἀγγέλων ἔφαγεν ἄνθρω-
πος. ἐπισιτισμὸν ἀπέστειλεν
αὐτοῖς εἰς πλησμονήν.
Ἀπῆρε νότον ἐξ οὐρανοῦ. καὶ ἐ-
πήγαγεν ἐν τῇ δυνάμει αὐτοῦ
λίβα.
Καὶ ἔβρεξεν ἐπ' αὐτοῖς ὡσεὶ ἄμ-
μον θαλασσῶν πετεινὰ πτερω-
τά.
Καὶ ἐπέπεσον εἰς μέσον τῆς πα-
ρεμβολῆς αὐτῶν κύκλῳ τῶν
σκηνωμάτων αὐτῶν.
Καὶ ἔφαγον καὶ ἐνεπλήσθησαν
σφόδρα. καὶ τὴν ἐπιθυμίαν αὐ-
τῶν ἤνεγκεν αὐτοῖς. οὐκ ἐστερή-
θησαν ἀπὸ τῆς ἐπιθυμίας αὐ-
τῶν.
Ἔτι τῆς βρώσεως οὔσης ἐν τῷ
στόματι αὐτῶν. καὶ ὀργὴ τοῦ θε-
οῦ ἀνέβη ἐπ' αὐτούς.
Καὶ ἀπέκτεινεν ἐν τοῖς πλείοσιν
αὐτῶν. καὶ τοὺς ἐκλεκτοὺς τοῦ

ri eius.
Et mandauit nubibus deſu-
per. & ianuas cæli ape-
ruit.
Et pluit eis manna mandu-
care. & panem cæli dedit
eis.
Panem angelorum manducauit ho
mo. frumentationē miſit — cibaria.
eis in ſatietatem.
Traſtulit auſtrum de cælo. & in
duxit in uirtute eius
aphricum.
Et pluit ſuper eos ſicut
puluerem carnes. & ſicut a-
renam marium uolatilia pennata.
Et ceciderunt in medium caſtro-
rum eoꝝ circa
tabernacula eoꝝ.
Et manducauerunt. & impleti ſunt
nimis. & deſiderium eo-
rum attulit eis non ſunt priua-
ti a deſiderio eo-
rum.
Ad huc eſca exiſtente in
ore eorum. & ira de
i aſcendit ſuper eos.
Et occidit in pluribus
eorum. & electos

heb.
impediuit / minuauit.

ἰσραὴλ συνεπόδισεν.
ἐν πᾶσι τούτοις ἥμαρτον ἔτι.
καὶ οὐκ ἐπίστευσαν ἐν τοῖς θαυ-
μασίοις αὐτοῦ.
Καὶ ἐξέλιπον ἐν τῇ ματαιότητι
αἱ ἡμέραι αὐτῶν. καὶ τὰ ἔτη
αὐτῶν μετὰ σπουδῆς·
Ὅταν ἀπέκτεινεν αὐτοὺς τό
τε ἐξεζήτουν αὐτὸν καὶ ἐπέ
στρεφον καὶ ὤρθριζον πρὸς
τὸν θεόν.
Καὶ ἐμνήσθησαν ὅτι ὁ θεὸς βοη
θὸς αὐτῶν ἐστὶ. καὶ ὁ θεὸς ὁ ὕ
ψιστος λυτρωτὴς αὐτῶν ἐστί.
Καὶ ἠγάπησαν αὐτὸν ἐν τῷ στό
ματι αὐτῶν. καὶ τῇ γλώσσῃ αὐ
τῶν ἐψεύσαντο αὐτῷ.
Ἡ δὲ καρδία αὐτῶν οὐκ εὐθεῖα
μετ' αὐτοῦ. οὐδὲ ἐπιστώθησαν
ἐν τῇ διαθήκῃ αὐτοῦ.
Αὐτὸς δέ ἐστιν οἰκτίρμων. καὶ ἰ
λάσεται ταῖς ἁμαρτίαις αὐ
τῶν καὶ οὐ διαφθερεῖ.
Καὶ πληθυνεῖ τοῦ ἀποστρέψαι
τὸν θυμὸν αὐτοῦ. καὶ οὐχὶ ἐκ
καύσει πᾶσαν τὴν ὀργὴν αὐ
τοῦ.
Καὶ ἐμνήσθη ὅτι σάρξ εἰσὶ
πνεῦμα πορευόμενον καὶ οὐκ ἐ-

israel compediuit.
In omnibus his peccauerunt adhuc
& non crediderunt in mirabi-
libus eius.
Et defecerunt in uanitate
dies eorum. & anni
eorum cum festinatione.
Cum occidebat eos
tunc exquirebant eum. & reuerte
bantur & manicabant ad
deum.
Et recordati sunt quia deus adiu-
tor eorum est & deus altis
simus redemptor eorum est
Et dilexerunt eum in o
re eorum. & lingua eorum
mentiti sunt ei.
Sed cor eorum non rectum
cum eo. neque
in testamento eius.
Ipse autem est misericors & ꝓpi-
tiabitur peccatis eo-
rum & non corrumpet.
Et abundabit auertere
iram eius. & non in
cendet omnem iram e-
ius.
Et recordatus est quoniam caro sūt
spiritus uadens & non redi-

πιστρέφον.
Ποσάκις παρεπίκραναν αὐτὸν
ἐν τῇ ἐρήμῳ. παρώργισαν αὐ
τὸν ἐν τῇ γῇ ἀνύδρῳ.
Καὶ ἐπέστρεψαν καὶ ἐπείρασαν
τὸν θεόν. καὶ τὸν ἅγιον τοῦ ἰ-
σραὴλ παρώξυναν.
Οὐκ ἐμνήσθησαν τῆς χειρὸς
αὐτοῦ. ἡμέρας ἧς ἐλυτρώσα
το αὐτοὺς ἐκ χειρὸς θλίβον
τος.
Ὡς ἔθετο ἐν αἰγύπτῳ τὰ σημεῖ
α αὐτοῦ. καὶ τὰ τέρατα αὐ-
τοῦ ἐν πεδίῳ τάνεως.
Καὶ μετέστρεψεν εἰς αἷμα
τοὺς ποταμοὺς αὐτῶν καὶ
τὰ ὀμβρήματα αὐτῶν ὅπως
μὴ πίωσι.
Ἐξαπέστειλεν εἰς αὐτοὺς κυνό
μυιαν, καὶ κατέφαγεν αὐ-
τούς. καὶ βάτραχον καὶ διέ
φθειρεν αὐτούς.
Καὶ ἔδωκε τῇ ἐρυσίβῃ τοὺς
καρποὺς αὐτῶν. καὶ τοὺς πό
νους αὐτῶν τῇ ἀκρίδι.
Ἀπέκτεινεν ἐν χαλάζῃ τὴν
ἄμπελον αὐτῶν. καὶ τὰς συ
καμίνους αὐτῶν ἐν τῇ πάχ-
νῃ.

ens.
Quotiens execerbauerunt eum
in deserto. incitauerunt e-
um in terra inaquosa.
Et conuerterunt & temptauerunt
deum. & sanctum i-
srael exacerbauerunt.
Non recordati sunt manus
eius. diei qua rede
mit eos ex manu tribu-
lantis.
Sicut posuit in ægypto si-
gna eius. & prodigia e-
ius in campo Taneos.
Et conuertit in sanguinem
flumina eorum. &
imbres eorum ut
non biberent.
Misit in eos muscam
caninam & comedit e-
os & ranam & corru-
pit eos.
Et dedit erugini
fructus eorum & labo
res eorum locustæ.
Occidit in grandine
uitem eorum. & mo
ros eorum in prui-
na.

Cynomiam omne genus muscarum

Καὶ παρέδωκεν εἰς χάλαζαν
τὰ κτήνη αὐτῶν. καὶ τὴν ὕ-
παρξιν αὐτῶν τῷ πυρί.
ἐξαπέστειλεν εἰς αὐτοὺς ὀργὴν
θυμοῦ αὐτοῦ θυμὸν καὶ ὀρ-
γὴν καὶ θλῖψιν ἀποστολὴν δι-
αγγέλων πονηρῶν.
Ὡδοποίησε τρίβον τῇ ὀργῇ
αὐτοῦ. καὶ οὐκ ἐφείσατο ἀπὸ θα-
νάτου τῶν ψυχῶν αὐτῶν. καὶ
τὰ κτήνη αὐτῶν εἰς θάνα-
τον συνέκλεισε.
Καὶ ἐπάταξε πᾶν πρωτότο-
κον ἐν γῇ αἰγύπτῳ. ἀπαρχὴν
παντὸς πόνου αὐτῶν ἐν τοῖς
σκηνώμασι χάμ.
Καὶ ἀπῆρεν ὡς πρόβατα τὸν
λαὸν αὐτοῦ. καὶ ἀνήγαγεν αὐ-
τοὺς ὡσεὶ ποίμνιον ἐν ἐρή-
μῳ.
Καὶ ὡδήγησεν αὐτοὺς ἐπ' ἐλπί-
δι καὶ οὐκ ἐδειλίασαν. καὶ
τοὺς ἐχθροὺς αὐτῶν ἐκάλυψε
θάλασσα.
Καὶ εἰσήγαγεν αὐτοὺς εἰς ὄρος
ἁγιάσματος αὐτοῦ. ὄρος
τοῦτο ὃ ἐκτήσατο ἡ δεξιὰ
αὐτοῦ.
Καὶ ἐξέβαλεν ἀπὸ προσώπου

Et tradidit in grandinem
iumenta eorum. & ſubſtan-
tiam eorum igni.
Emiſit in eos iram
indignationis eius indignationē &
irā & tribulationē immiſſionē p an
gelos malos.
Deduxit ſemitam iræ
eius. & non pepercit a mor-
te animarum eorum &
iumenta eorum in mor-
tem concluſit.
Et percuſſit omne primogeni
tum in terra ægypto. primitiam
omnis laboris eorum in
tabernaculis cham.
Et tranſtulit ſicut oues
populum eius. & perduxit e-
os ſicut gregem in deſer-
to.
Et deduxit eos in
ſpe & non timuerunt. &
inimicos eorum operuit
mare.
Ft induxit eos in montem
ſanctificationis eius. montem
hunc quem acquiſiuit dextera
eius.
Et eiecit a facie

αὐτῶν ἔθνη. καὶ ἐκληροδότη-
σεν αὐτοὺς ἐν σχοινίῳ κληρο
δοσίας.
Καὶ κατεσκήνωσεν ἐν τοῖς
σκηνώμασιν αὐτῶν τὰς φυ
λὰς τοῦ ἰσραήλ.
Καὶ ἐπείρασαν καὶ παρεπί-
κραναν τὸν θεὸν τὸν ὕψισ
τον. καὶ τὰ μαρτύρια αὐ
τοῦ οὐκ ἐφυλάξαντο.
Καὶ ἀπέστρεψαν καὶ ἠθέτη
σαν καθὼς καὶ οἱ πατέρες
αὐτῶν. μετεστράφησαν εἰς τό
ξον στρεβλόν.
Καὶ παρώργισαν αὐτὸν ἐν τοῖς
βουνοῖς αὐτῶν. καὶ ἐν τοῖς
γλυπτοῖς αὐτῶν παρεζήλωσαν
αὐτόν.
ἤκουσεν ὁ θεὸς καὶ ὑπερεῖδεν.
καὶ ἐξουδένωσε σφόδρα
τὸν ἰσραήλ.
Καὶ ἀπώσατο τὴν σκηνὴν σι
λώμ. σκήνωμα ὃ κατεσκήνω
σεν ἐν ἀνθρώποις.
Καὶ παρέδωκεν εἰς αἰχμαλω
σίαν τὴν ἰσχὺν αὐτῶν. καὶ
τὴν καλλονὴν αὐτῶν εἰς χεῖ-
ρας ἐχθρῶν.
Καὶ συνέκλεισεν ἐν ῥομφαίᾳ

eorum gentes. & forte diui-
sit eos in funiculo distributio-
nis.
Et collocauit in
tabernaculis eorum tri-
bus israel.
Et temptauerunt & exacer-
bauerunt deum altissi-
mum. & testimonia e-
ius non custodierunt.
Et auerterunt & reproba
uerunt quemadmodum patres
eorum. conuersi sunt in ar
cum prauum.
Et concitauerunt eum in
collibus eorum. & in
sculptilibus eorum prouocauerunt
eum.
Audiuit deus & spreuit
& ad nihilum redegit ualde
israel.
Et reppulit tabernaculum si
lom. tabernaculum quod habi-
tauit in hominibus.
Et tradidit in captiuita
tem uirtutem eorum. &
pulchritudinem eorum in ma
nus inimicorum.
Et conclusit in gladio

τὸν λαὸν αὐτοῦ, καὶ τὴν κλη-
ρονομίαν αὐτοῦ ὑπερεῖδε.
Τοὺς νεανίσκους αὐτῶν κατέ-
φαγε πῦρ. καὶ αἱ παρθένοι αὐ-
τῶν οὐκ ἐπενθήθησαν.
Οἱ ἱερεῖς αὐτῶν ἐν ῥομφαίᾳ
ἔπεσον. καὶ αἱ χῆραι αὐτῶν
οὐ κλαυθήσονται.
Καὶ ἐξηγέρθη ὡς ὁ ὑπνῶν κύ-
ριος. ὡς δυνατὸς καὶ κε-
κραιπαληκὼς ἐξ οἴνου.
Καὶ ἐπάταξε τοὺς ἐχθροὺς
αὐτοῦ εἰς τὰ ὀπίσω. ὄνει-
δος αἰώνιον ἔδωκεν αὐτοῖς.
Καὶ ἀπώσατο τὸ σκήνωμα ἰ-
ωσήφ. καὶ τὴν φυλὴν ἐ-
φραὶμ οὐκ ἐξελέξατο.
Καὶ ἐξελέξατο τὴν φυλὴν ἰού-
δα τὸ ὄρος τὸ σιὼν ὃ ἠγάπησε.
Καὶ ᾠκοδόμησεν ὡς μονοκέρω-
τος τὸ ἁγίασμα αὐτοῦ. ἐν τῇ
γῇ ἐθεμελίωσεν αὐτὴν εἰς
τὸν αἰῶνα.
Καὶ ἐξελέξατο τὸν δαυὶδ τὸν
δοῦλον αὐτοῦ καὶ ἀνέλαβεν
αὐτὸν ἐκ τῶν ποιμνίων τῶν
προβάτων. ἐξόπισθεν τῶν λο-
χευομένων ἔλαβεν αὐτόν,
Ποιμαίνειν ἰακὼβ τὸν δοῦλον

populum eius. & hæredita
tem eius spreuit.
Iuuenes eoꝝ come-
dit ignis. & uirgines eo-
rum non sunt defletæ.
Sacerdotes eoꝝ in gladio
ceciderunt. & uiduæ eoꝝ
non plorabuntur.
Et excitatus est tanquã dormiens
dominus. tãq̃ potens. & crapula
tus ex uino.
Et percussit inimicos
eius in retro. obpro-
brium sempiternum dedit eis.
Et reppulit tabernaculum io-
seph. & tribum e-
phræm non elegit.
Et elegit tribum Iu-
dæ montem sion quem dilexit.
Et ædificauit sicut unicor-
ni sanctificationem eius: in
terra fundauit eam in
sæculum.
Et elegit Dauid
seruum eius & assumpsit
eum ex gregibus
ouium. depost foetan-
tes accepit eum.
Pascere iacob seruum

αὐτοῦ. καὶ ἰσραὴλ τὴν κληρο
νομίαν αὐτοῦ.
Καὶ ἐποίμανεν αὐτοὺς ἐν τῇ ἀ
κακίᾳ τῆς καρδίας αὐτοῦ. καὶ
ἐν ταῖς συνέσεσι τῶν χειρῶν
αὐτοῦ ὡδήγησεν αὐτούς.

Δό. ψαλμὸς τῷ ἀσάφ. οη.

ὁ θεὸς ἤλθοσαν ἔθνη
εἰς τὴν κληρονομίαν
σου. ἐμίαναν τὸν
ναὸν τὸν ἅγιόν σου. ἔθεντο
ἱερουσαλὴμ ὡς ὀπωροφυλά-
κιον.
ἔθεντο τὰ θνησιμαῖα τῶν δού
λων σου βρώματα τοῖς πετει
νοῖς τοῦ οὐρανοῦ. τὰς σάρκας
τῶν ὁσίων σου τοῖς θηρίοις
τῆς γῆς.
ἐξέχεαν τὸ αἷμα αὐτῶν ὡσεὶ
ὕδωρ κύκλῳ ἱερουσαλὴμ
καὶ οὐκ ἦν ὁ θάπτων.
ἐγενήθημεν ὄνειδος τοῖς γείτοσιν
ἡμῶν. μυκτηρισμὸς καὶ χλευ
ασμὸς τοῖς κύκλῳ ἡμῶν.
ἕως πότε κύριε ὀργισθήσῃ εἰς
τέλος. ἐκκαυθήσεται ὡς πῦρ
ὁ ζῆλός σου.

eius. & Israel hæredita
tem eius.
Et pauit eos in inno
centia cordis eius. &
in intellectibus manuum
eius deduxit eos.

Gloria. Psalmus Asaph. lxxviii.

d eus uenerunt gentes
in hæreditatem
tui. polluerunt
templum sanctum tui. posuerunt
hierusalem uelut pomorum custo-
diam.
Posuerunt morticina seruo-
rum tui escas uolatili-
bus cæli. carnes
sanctorum tui bestiis
terræ.
Effuderunt sanguinem eorum tanquam
aquam circa hierusalem
& non erat sepeliens.
Facti sumus obprobrium uicinis
nostrum. subsannatio & irri
sio circuitu nostrum.
Usquequo domine irasceris in
finem. exardescet uelut ignis
zelus tui.

ἔκχεον τὴν ὀργήν σου ἐπὶ τὰ
ἔθνη τὰ μὴ γινώσκοντά σε.
καὶ ἐπὶ βασιλείας αἳ τὸ ὄνο
μά σου οὐκ ἐπεκαλέσαντο.
ὅτι κατέφαγον τὸν ἰακώβ. καὶ
τὸν τόπον αὐτοῦ ἠρήμωσαν.
Μὴ μνησθῇς ἡμῶν ἀνομιῶν
ἀρχαίων. ταχὺ προκαταλαβέ
τωσαν ἡμᾶς οἱ οἰκτιρμοί σου.
ὅτι ἐπτωχεύσαμεν σφόδρα.
Βοήθησον ἡμῶν ὁ θεὸς ὁ σω
τὴρ ἡμῶν. ἕνεκεν τῆς δόξης
τοῦ ὀνόματόσ σου κύριε ῥῦ-
σαι ἡμᾶς, καὶ ἱλάσθητι ταῖς
ἁμαρτίαις ἡμῶν ἕνεκεν τοῦ
ὀνόματός σου.
Μήποτε εἴπωσι τὰ ἔθνη ποῦ
ἐστὶν ὁ θεὸς αὐτῶν, καὶ γνωσ
θήτω ἐν τοῖς ἔθνεσιν ἐνώπι
ον τῶν ὀφθαλμῶν ἡμῶν.
Ἡ ἐκδίκησις τοῦ αἵματος
τῶν δούλων σου τοῦ ἐκκεχυ-
μένου εἰσελθέτω ἐνώπιόν σου
ὁ στεναγμὸς τῶν πεπεδημέ
νων.
Κατὰ τὴν μεγαλωσύνην τοῦ
βραχίονός σου. περιποίησαι
τοὺς υἱοὺς τῶν τεθανατω
μένων.

Effunde iram tui in
gentes non cognoſcentes te
& in regna quæ no
men tui non inuocauerunt.
Quia comederunt Iacob. &
locum eius deſolauerunt.
Ne memineris noſtrum iniquitatū
antiquarum. cito antici-
pent nos miſericordiæ tui
quia pauperes facti ſumus nimis.
Auxiliare nobis deus ſal
uator noſtrum. propter gloriam
nominis tui domine li
bera nos & propitiare
peccatis noſtrum propter
nomen tui.
Nequando dicant gentes ubi
eſt deus eorum & inno-
teſcat gentibus co
ram oculis noſtrum.
Vltio ſanguinis
ſeruorum tui effu-
ſi introeat coram te
gemitus compedi-
torum.
Secundum magnitudinem
brachii tui. poſſide
filios mortificato-
rum.

Ἀπόδος τοῖς γείτοσιν ἡμῶν ἑ-
πταπλασίονα εἰς τὸν κόλ-
πον αὐτῶν, τὸν ὀνειδισμὸν
αὐτῶν ὃν ὠνείδισάν σε κύ-
ριε.
Ἡμεῖς δὲ λαός σου καὶ πρόβα-
τα νομῆς σου ἀνθομολογησό-
μεθά σοι ὁ θεὸς εἰς τὸν αἰῶνα.
εἰς γενεὰν καὶ γενεὰν ἐξαγγε-
λοῦμεν τὴν αἴνεσίν σου.

Redde uicinis nostrum septu-
plum in si-
num eorum. improperium
eorum quod exprobrauerunt te do-
mine.
Nos autem populus tui. & o-
ues pascuæ tui confitebi-
mur tibi deus in sæculum.
In generationē. & generatiōnē an-
nuntiabimus laudationem tui.

Εἰς τὸ τέλος ὑπὲρ τῶν ἀλλοιω-
θησομένων μαρτύριον τῷ
ἀσάφ. ψαλμὸς ὑπὲρ τοῦ ἀσ-
συρίου. οθ.

In finem pro commutan-
dis testimonium
Asaph. psalmus pro As-
syrio. lxxviii.

ο ποιμαίνων τὸν ἰσραὴλ
πρόσχες. ὁ ὁδηγῶν
ὡσεὶ πρόβατον τὸν ἰω-
σήφ.
Ὁ καθήμενος ἐπὶ τῶν χερου-
βὶμ ἐμφάνηθι. ἐναντίον ἐ-
φραὶμ καὶ βενιαμὶν καὶ μα-
νασσῆ.
ἐξέγειρον τὴν δυναστείαν σου
καὶ ἐλθὲ εἰς τὸ σῶσαι ἡμᾶς.
Ὁ θεὸς ἐπίστρεψον ἡμᾶς. καὶ ἐ-
πίφανον τὸ πρόσωπόν σου
καὶ σωθησόμεθα.

r egens israel
attende. deducens
uelut ouem Io-
seph.
Sedens super cheru-
bim. appare coram e-
phræm & Beniamin & Ma-
nasse.
Excita potentiam tui
& ueni saluare nos.
Deus conuerte nos. & osten-
de faciem tui.
& saluabimur.

Κύριε ὁ θεὸς τῶν δυνάμεων
ἕως πότε ὀργίζῃ ἐπὶ τὴν
προσευχὴν τῶν δούλων σου.
ψωμιεῖς ἡμᾶς ἄρτον δακρύ-
ων. καὶ ποτιεῖς ἡμᾶς ἐν δά-
κρυσιν ἐν μέτρῳ.
ἔθου ἡμᾶς εἰς ἀντιλογίαν
τοῖς γείτοσιν ἡμῶν. καὶ οἱ ἐχ
θροὶ ἡμῶν ἐμυκτήρισαν ἡμᾶς.
Κύριε ὁ θεὸς τῶν δυνάμεων
ἐπίστρεψον ἡμᾶς. καὶ ἐπίφα-
νον τὸ πρόσωπόν σου καὶ σω
θησόμεθα.
Ἄμπελον ἐξ αἰγύπτου μετῆ
ρας. ἐξέβαλες ἔθνη καὶ κατε
φύτευσας αὐτήν.
ὡδοποίησας ἔμπροσθεν αὐ-
τῆς. καὶ κατεφύτευσας τὰς
ῥίζας αὐτῆς καὶ ἐπλήρωσε
τὴν γῆν.
ἐκάλυψεν ὄρη ἡ σκιὰ αὐτῆς.
καὶ αἱ ἀναδενδράδες αὐτῆς
τὰς κέδρους τοῦ θεοῦ.
ἐξέτεινε τὰ κλήματα αὐτῆς
ἕως θαλάσσης. καὶ ἕως ποτα
μῶν τὰς παραφυάδας αὐ
τῆς.
ἱνατί καθεῖλες τὸν φραγμὸν
αὐτῆς. καὶ τρυγῶσιν αὐτὴν

Domine deus uirtutum
uſquequo iraſceris ſuper
orationem ſeruorum tui.
Cibabis nos pane lacri-
marum. & rigabis nos in la
crimis in menſura.
Poſuiſti nos in contradictionem
uicinis noſtrum. & ini-
mici noſtrum ſubſannauerunt nos.
Domine deus uirtutum
conuerte nos. & oſten-
de faciem tui & ſal
uabimur.
Vineam de ægypto tranſ
tuliſti. eieciſti gentes. & planta
ſti eam.
Viam feciſti coram e
a. & plantaſti
radices eius. & impleuit
terram.
Operuit montes umbra eius.
& arbuſta eius
cedros dei.
Extendit palmites eius
uſque mare. & uſque flu
mina propagines e
ius
Vt quid deſtruxiſti ſepem
eius. & uindemiant eam

πάντες οἱ παραπορευόμενοι
τὴν ὁδόν.
ἐλυμήνατο αὐτὴν ὗς ἐκ δρυ
μοῦ. καὶ μονιὸς ἄγριος κατε
νεμήσατο αὐτήν.
Ὁ θεὸς τῶν δυνάμεων ἐπίσ
τρεψον δή. καὶ ἐπίβλεψον ἐξ
οὐρανοῦ καὶ ἴδε. καὶ ἐπίσκε-
ψαι τὴν ἄμπελον ταύτην.
Καὶ κατάρτισαι ταύτην ἣν ἐ-
φύτευσεν ἡ δεξιά σου. καὶ ἐ-
πὶ υἱὸν ἀνθρώπου ὃν ἐκραται
ωσας ἑαυτῷ.
ἐμπεπυρισμένη πυρὶ καὶ ἐσ-
καμμένη. ἀπὸ ἐπιτιμήσεως
τοῦ προσώπου σου ἀπολοῦν
ται.
Γενηθήτω ἡ χείρ σου ἐπ' ἄνδρα
δεξιᾶς σου. καὶ ἐπὶ υἱὸν ἀν
θρώπου ὃν ἐκραταίωσας ἑ
αυτῷ.
Καὶ οὐ μὴ ἀποστῶμεν ἀπὸ σοῦ.
ζωώσεις ἡμᾶς καὶ τὸ ὄνομά
σου ἐπικαλεσόμεθα.
Κύριε ὁ θεὸς τῶν δυνάμεων
ἐπίστρεψον ἡμᾶς. καὶ ἐπίφανον
τὸ πρόσωπόν σου καὶ σωθησό-
μεθα.

omnes transeuntes
uiam.
Exterminauit eam sus ex syl
ua. & singularis ferus depa
stus est eam.
Deus uirtutum conuer-
tere. & respice de
cælo & uide. & uisi-
ta uineam istam.
Et perfice hanc quam plan-
tauit dextera tui. & su-
per filium hominis quem confir-
masti tibi.
Incensa igni & suffos-
sa ab increpatione
uultus tui peri-
bunt.
Fiat manus tui super uirum
dexteræ tui, & super filium ho-
minis quem confirmasti ti-
bi.
Et non discedimus a te
uiuificabis nos & nomen
tui inuocabimus.
Domine deus uirtutum
conuerte nos. & ostende
faciem tui & salua-
bimur.

εἰς τὸ τέλος ὑπὲρ τῶν ἀλλοιωθησομένων τῷ ἀσὰφ ψαλμὸς. π.

ἀ

Γαλλιᾶσθε τῷ θεῷ τῷ βοηθῷ ἡμῶν. ἀλαλάξατε τῷ θεῷ ἰακώβ.

Λάβετε ψαλμὸν καὶ δότε τύμπανον. ψαλτήριον τερπνὸν μετὰ κιθάρας.

Σαλπίσατε ἐν νεομηνίᾳ σάλπιγγι. ἐν εὐσήμῳ ἡμέρᾳ ἑορτῆς ὑμῶν.

Ὅτι πρόσταγμα τῷ ἰσραὴλ ἐστὶ καὶ κρίμα τῷ θεῷ ἰακώβ.

Μαρτύριον ἐν τῷ ἰωσὴφ ἔθετο αὐτὸ ἐν τῷ ἐξελθεῖν αὐτὸν ἐκ γῆς αἰγύπτου γλῶσσαν ἣν οὐκ ἔγνω ἤκουσεν.

Ἀπέστησεν ἀπὸ ἄρσεων τὸν νῶτον αὐτοῦ. αἱ χεῖρες αὐτοῦ ἐν τῷ κοφίνῳ ἐδούλευσαν.

Ἐν θλίψει ἐπεκαλέσω με, καὶ ἐρρυσάμην σε, ἐπήκουσά σου ἐν ἀποκρύφῳ καταιγίδος. ἐδοκίμασά σε ἐπὶ ὕδατος ἀν

In finem pro commutandis Asaph psalmus. lxxx.

e

xultate deo adiutori nostrum. iubilate deo Iacob.

Sumite psalmum & date tympanum. psalterium iucundum cum cithara.

Canite in nouilunio tuba. in insigni die solemnitatis uestrum.

Quia præceptum Israel est. & iudicium deo iacob

Testimonium in Ioseph posuit illud. in exire eum ex terra ægypti linguam quam non nouit audiuit

Auertit ab honeribus dorsum eius. manus eius in cophino seruierunt:

In tribulatione inuocasti me & liberaui te exaudiui te in abscondito tempestatis. probaui te in aqua contra

τιλογίας .
Ἄκουσον λαός μου καὶ διαμαρ
τύρομαί σοι . ἰσραὴλ ἐὰν ἀκού
σῃς μου . οὐκ ἔσται ἐν σοὶ θεὸς
πρόσφατος . οὐδὲ προσκυνή
σεις θεῷ ἀλλοτρίῳ .
ἐγὼ γάρ εἰμι κύριος ὁ θεός σου
ὁ ἀναγαγών σε ἐκ γῆς αἰγύπτου .
πλάτυνον τὸ στόμα σου καὶ
πληρώσω αὐτό .
Καὶ οὐκ ἤκουσεν ὁ λαός μου
τῆς φωνῆς μου . καὶ ἰσραὴλ
οὐ προσέσχε μοι .
Καὶ ἐξαπέστειλα αὐτοὺς κατὰ
τὰ ἐπιτηδεύματα τῆς καρ
δίας αὐτῶν . πορεύσονται ἐν
αὐτοῦ. ἀρχὴ σοφίας φόβος
κυρίου.
Σύμεσις δὲ ἀγαθὴ πᾶσι τοῖς
ποιοῦσιμ αὐτήν. ἡ αἴμεσις
αὐτοῦ μέμει εἰς τὸμ αἰῶμα
τοῦ αἰῶμος.

## Ἀλληλούια. ρια.

Μ ακάριος ἀμὴρ ὁ φοβού
μεμος τὸμ κύριομ ἐμ ταῖς
ἐμτολαῖς αὐτοῦ θελήσει
σφόδρα.
Δυματὸμ ἐμ τῇ γῇ ἔσται τὸ σπέρ
μα αὐτοῦ. γεμεὰ εὐθέωμ εὐλο
γηθήσεται.
Δόξα καὶ πλοῦτος ἐμ τῷ οἴκῳ
αὐτοῦ. καὶ ἡ δικαιοσύμη
αὐτοῦ μέμει εἰς τὸμ αἰῶμα
τοῦ αἰῶμος.
Ἐξαμέτειλεμ ἐμ σκότει φῶς
τοῖς εὐθέσιμ. ἐλεήμωμ καὶ
οἰκτίρμωμ καὶ δίκαιος.
Χρηστὸς ἀμὴρ ὁ οἰκτείρωμ καὶ

cta in ueritate & æquitate.
Redemptionem misit po-
pulo eius. mandauit in
æternum testamentum eius.
Sanctum & terribile nomen
eius initium sapientiæ timor
domini.
Intellectus autem bonus omnibus
facientibus eum. laudatio
eius manet in sæculum
sæculi.

## Alleluia. c xi.

b eatus uir ti-
mens dominum. in
mandatis eius uolet
nimis.
Potens in terra erit se
men eius. generatio rectorum bene
dicetur.
Gloria & diuitiae in domo
eius. & iusticia
eius manet in saeculum
saeculi.
Exortum est in tenebra lumen
rectis. misericors &
miserator & iustus.
Iucundus & miserans &

κιχρῶν. οἰκονομήσει τοὺς
λόγους αὐτοῦ ἐν κρίσει, ὅτι
εἰς τὸν αἰῶνα οὐ σαλευθή
σεται.
εἰς μνημόσυνον αἰώνιον ἔσται
δίκαιος, ἀπὸ ἀκοῆς πονηρᾶς
οὐ φοβηθήσεται.
ἑτοίμη ἡ καρδία αὐτοῦ ἐλ
πίζειν ἐπὶ κύριον. ἐστήρικται
ἡ καρδία αὐτοῦ οὐ μὴ φο
βηθῆ. ἕως ἐπίδῃ ἐπὶ
τοὺς ἐχθροὺς αὐτοῦ.
ἐσκόρπισεν ἔδωκε τοῖς πέ
νησιν. ἡ δικαιοσύνη αὐτοῦ
μένει εἰς τὸν αἰῶνα τοῦ αἰῶ
νος. τὸ κέρας αὐτοῦ ὑψωθή
σεται ἐν δόξῃ.
ἁμαρτωλὸς ὄψεται καὶ ὀργι
σθήσεται τοὺς ὀδόντας αὐτοῦ
βρύξει καὶ τακήσεται. ἐπιθυ
μία ἁμαρτωλοῦ ἀπολεῖται.

Δόξα. ἀλληλούια. ριβ.

α ινεῖτε παῖδες
κύριον. αἰνεῖτε τὸ ὄνο
μα κυρίου.
εἴη τὸ ὄνομα κυρίου εὐλογημέ
νον, ἀπὸ τοῦ νῦν καὶ ἕως

commodans. diſponet
ſermones eius in iudicio. quia
in aeternum non commouebi
tur.
In memoriam aeternam erit
iuſtus. ab auditione mala
non timebit.
Paratum cor eius ſpera
re in dominum. confirmatum eſt
cor eius non time
bit. donec deſpiciat ſuper
inimicos eius.
Diſperſit dedit pauperi
bus. iuſticia eius
manet in ſæculum ſæcu
li cornu eius exaltabi
tur in gloria.
Peccator uidebit & iraſce
tur. dentibus eius
fremet & tabeſcet. deſide
rium peccatoris peribit.

Gloria. Alleluia. cxii.

l audate pueri
dominum. laudate no
men domini.
Sit nomen domini benedi
ctum, a nunc & uſque

τοῦ αἰῶνος.
Ἀπὸ ἀνατολῶν ἡλίου μέχρι
δυσμῶν αἰνετὸν τὸ ὄνομα κυ-
ρίου.
Ὑψηλὸς ἐπὶ πάντα τὰ ἔθνη ὁ
κύριος. ἐπὶ τοὺς οὐρανοὺς
ἡ δόξα αὐτοῦ.
Τίς ὡς κύριος ὁ θεὸς ἡμῶν.
ὁ ἐν ὑψηλοῖς κατοικῶν καὶ
τὰ ταπεινὰ ἐφορῶν ἐν τῷ
οὐρανῷ καὶ ἐν τῇ γῇ.
Ὁ ἐγείρων ἀπὸ γῆς πτωχὸν.
καὶ ἀπὸ κοπρίας ἀνυψῶν
πένητα.
Τοῦ καθίσαι αὐτὸν μετὰ
ἀρχόντων μετὰ ἀρχόντων
λαοῦ αὐτοῦ.
Ὁ κατοικίζων στεῖραν ἐν οἴ
κῳ. μητέρα ἐπὶ τέκνοις εὐ-
φραινομένην.

Ἀλληλούϊα. ριγ.

ἐ ν ἐξόδῳ ἰσραὴλ ἐξ
αἰγύπτου. οἴκου ἰακὼβ
ἐκ λαοῦ βαρβάρου.
Ἐγενήθη ἰουδαία ἁγίασμα
αὐτοῦ. ἰσραὴλ ἐξουσία αὐ
τοῦ.

ſæculum.
Ab ortu ſolis uſque
occaſum. laudabile nomen do
mini.
Excelſus ſuper omnes gentes
dominus. ſuper cælos
gloria eius.
Quis ſicut dominus deus noſtrum
in excelſis habitans &
humilia reſpiciens in
cælo & in terra.
Suſcitans a terra inopem.
& a ſtercore erigens
pauperem.
Collocare eum cum
principibus cum principibus
populi eius.
Collocans ſterilem in do
mo. matrem ſuper filiis lætan
tem.

Alleluia. c xiii.

i n exitu iſrael ex
ægypto. domus iacob
ex populo barbaro.
Facta eſt iudæa ſanctificatio
eius. iſrael poteſtas e-
ius.

| | |
|---|---|
| Ἡ θάλασσα εἶδε καὶ ἔφυγεν. | Mare uidit & fugit |
| ὁ ἰορδάνης ἐστράφη εἰς τὰ | Iordanes conuersus est in |
| ὀπίσω. | retro. |
| Τὰ ὄρη ἐσκίρτησαν ὡσεὶ κρι | Montes exultauerunt ut arie |
| οί. καὶ οἱ βουνοὶ ὡς ἀρνία | tes. & colles sicut agni |
| προβάτων. | ouium. |
| Τί σοι ἐστὶ θάλασσα ὅτι ἔφυ | Quid tibi est mare quod fu |
| γες καὶ σὺ ὁ ἰορδάνης ὅτι | gisti. & tu iordanes quia |
| ἐστράφης εἰς τὰ ὀπίσω. | conuersus es in retto. |
| Τὰ ὄρη ὅτι ἐσκιρτήσατε ὡ | Mōtes quare exultastis si |
| σεὶ κριοὶ. καὶ οἱ βουνοὶ ὡς | cut arietes. & colles sicut |
| ἀρνία προβάτων. | agni ouiū. |
| Ἀπὸ προσώπου τοῦ κυρίου | A facie domini |
| ἐσαλεύθη ἡ γῆ. ἀπὸ προ | mota est terra: a fa |
| σώπου τοῦ θεοῦ ἰακώβ. | cie dei iacob. |
| Τοῦ στρέψαντος τὴν πέ | Qui conuertit pe |
| τραν εἰς λίμνας ὑδάτων. | tram in stagna aquarum. |
| καὶ τὴν ἀκρότομον εἰς | & rupē in |
| πηγὴν ὑδάτων. | fontes aquarum. |
| Μὴ ἡμῖν κύριε μὴ ἡμῖν. ἀλλ' ἢ | Nō nobis domine nō nobis. sed |
| τῷ ὀνόματί σου δὸς δόξαν. | nomini tuo da gloriam. |
| ἐπὶ τῷ ἐλέει σου καὶ τῇ ἀ | Super misericordia tui & ueri |
| ληθείᾳ σου. μήποτε εἴπω | tate tui nunquam di |
| σι τὰ ἔθνη ποῦ ἐστὶν ὁ θεὸς | cant gentes. ubi est deus |
| αὐτῶν. | eorū. |
| Ὁ δὲ θεὸς ἡμῶν ἐν τῷ οὐρα | Sed deus nostrum in cæ |
| νῷ καὶ ἐν τῇ γῇ πάντα ὅ | lo & in terra omnia quæ |
| σα ἠθέλησεν ἐποίησεν. | cunque uoluit fecit |
| Τὰ εἴδωλα τῶν ἐθνῶν ἀργύ | Simulacra gentium ar |

ριον καὶ χρυσίον. ἔργα χει
ρῶν ἀνθρώπων.
Στόμα ἔχουσι καὶ οὐ λαλή-
σουσιν. ὀφθαλμοὺς ἔχου-
σι καὶ οὐκ ὄψονται.
ὦτα ἔχουσι καὶ οὐκ ἀκού
σονται. ῥῖνας ἔχουσι καὶ
οὐκ ὀσφρανθήσονται.
Χεῖρας ἔχουσι καὶ οὐ ψηλα
φήσουσι. πόδας ἔχουσι
καὶ οὐ περιπατήσουσι.
οὐ φωνήσουσιν ἐν τῷ λάρυγ
γι αὐτῶν.
Ὅμοιοι αὐτοῖς γένοιντο οἱ ποι
οῦντες αὐτὰ καὶ πάντες οἱ
πεποιθότες ἐπ᾽ αὐτοῖς.
Οἶκος ἰσραὴλ ἤλπισεν ἐπὶ
κύριον. βοηθὸς καὶ ὑπερα
σπιστὴς αὐτῶν ἐστίν.
Οἶκος ἀαρὼν ἤλπισεν ἐπὶ
κύριον. βοηθὸς καὶ ὑπερα
σπιστὴς αὐτῶν ἐστίν.
Οἱ φοβούμενοι τὸν κύριον
ἤλπισαν ἐπὶ κύριον. βοη
θὸς καὶ ὑπερασπιστὴς αὐτῶν
ἐστίν.
Κύριος μνησθεὶς ἡμῶν. εὐ
λόγησεν ἡμᾶς.
εὐλόγησεν τὸν οἶκον ἰσραὴλ

gentum & aurum. opera ma
nuum hominum.
Os habent & non loquen-
tur. oculos ha-
bent & non uidebunt
Aures habent & non au-
dient. naſos habent &
non olfacient.
Manus habent & non pal-
pabunt. pedes habent
& non ambulabunt.
non clamabunt in guttu
re eorum.
Similes eis fiant facien-
tes ea. & omnes
confiſi in eis.
Domus iſrael ſperauit in
dominum. adiutor & pro
tector eorum eſt.
Domus aaron ſperauit in
dominum. adiutor & prote
ctor eorum eſt.
Timentes dominum
ſperauerunt in dominum. adiu
tor & protector eorum
eſt.
Dominus recordatus noſtri. bene
dixit nos.
Benedixit domum Iſrael

εὐλόγησε τὸν οἶκον ἀαρὼν
εὐλόγησε τοὺς φοβουμέ-
νους κύριον. τοὺς μικροὺς
μετὰ τῶν μεγάλων.
Προσθείη κύριος ἐφ᾽ ὑμᾶς.
ἐφ᾽ ὑμᾶς. καὶ ἐπὶ τοὺς υἱ
οὺς ὑμῶν.
εὐλογημένοι ὑμεῖς τῷ κυρί
ῳ. τῷ ποιήσαντι τὸν οὐρα
νὸν καὶ τὴν γῆν.
Ὁ οὐρανὸς τοῦ οὐρανοῦ τῷ
κυρίῳ. τὴν δὲ γῆν ἔδωκε
τοῖς υἱοῖς τῶν ἀνθρώπων.
Οὐχ οἱ νεκροὶ αἰνέσουσί σε
κύριε. οὐδὲ πάντες κατα
βαίνοντες εἰς ᾅδου.
Ἀλλ᾽ ἡμεῖς οἱ ζῶντες εὐλο
γήσομεν τὸν κύριον. ἀπὸ
νῦν καὶ ἕως τοῦ αἰῶνος.

Ἀλληλούια. ριδ.

Ἠ γάπησα ὅτι εἰσα
κούσεται κύριος τῆς
φωνῆς τῆς δεήσεώς μου.
Ὅτι ἔκλινε τὸ οὖς αὐτοῦ ἐ
μοί. καὶ ἐν ταῖς ἡμέραις
μου ἐπικαλέσομαι.
Περιέσχον με ὠδῖνες θανά

benedixit domum aaron.
Benedixit timen
tes dominum. paruos
cum magnis.
Adiiciat dominus super uos.
super uos. & super fi-
lios uestrum.
Benedicti uos do
mino. qui fecit cæ-
lum & terram.
Cælum cæli
domino. sed terram dedit
filiis hominum.
Non mortui laudabunt te
domine. neque omnes descen
dentes in infernum.
Sed nos uiuentes benedice
mus dominum. a
nunc & usque sæculum.

Alleluia. cxiiii.

d ilexi quoniam exau
diet dominus
uocem deprecationis mei.
Quia inclinauit aurem eius
mihi. & in diebus
mei inuocabo.
Circundederunt me dolores mor

του. κίνδυνοι ᾅδου εὕρο
σάν με.
θλίψιν καὶ ὀδύνην εὗρον.
καὶ τὸ ὄνομα κυρίου ἐπι
καλέσομαι.
ὦ κύριε ῥῦσαι τὴν ψυχήν
μου. ἐλεήμων ὁ κύριος καὶ
δίκαιος. καὶ ὁ θεὸς ἡμῶν
ἐλεεῖ.
φυλάσσων τὰ νήπια ὁ κύ
ριος. ἐταπεινώθην καὶ ἔ
σωσέ με.
ἐπίστρεψον ψυχή μου εἰς
τὴν ἀνάπαυσίν σου. ὅτι κύ
ριος εὐηργέτησέ σε.
ὅτι ἐξείλετο τὴν ψυχήν μου
ἐκ θανάτου. τοὺς ὀφθαλ
μούς μου ἀπὸ δακρύων.
καὶ τοὺς πόδας μου ἀπὸ
ὀλισθήματος.
εὐαρεστήσω ἐνώπιον κυρί
ου. ἐν χώρᾳ ζώντων.

Ἀλληλούϊα. ριε.

ἐ πίστευσα, διὸ
ἐλάλησα. ἐγὼ δὲ ἐτα
πεινώθην σφόδρα.
ἐγὼ δὲ εἶπα ἐν τῇ ἐκστάσει

tis.pericula inferni inue
nerunt me .
Tribulationem & dolorem inueni
et nomen domini inuoca
bo .
O domine libera animam
mei . misericors dominus &
iustus. & deus nostrum .
miseretur .
Custodiens paruulos do
minus.humiliatus & sal
uauit me.
Conuerte anima mei in
requiem tui . quoniam do-
minus benefecit tibi .
Quoniam eripuit animam mei
ex morte. ocu-
los mei a lacrymis .
& pedes mei a
lapsu .
Placebo coram do
mino . in regione uiuentium .

Alleluia . cxv .

c redidi : propte
rea locutus sũ. ego aũt hu
miliatus sum nimis .
Ego autem dixi in stupore

μου. πᾶς ἄνθρωπος ψεύ-
στης.
Τί ἀνταποδώσω τῷ κυρίῳ.
περὶ πάντων ὧν ἀντεπέδω-
κέ μοι.
Ποτήριον σωτηρίου λήψομαι
καὶ τὸ ὄνομα κυρίου ἐπικα-
λέσομαι.
Τὰς εὐχάς μου τῷ κυρίῳ ἀ-
ποδώσω ἐναντίον παντὸς
τοῦ λαοῦ αὐτοῦ. τίμιος ἐναν-
τίον κυρίου ὁ θάνατος
τῶν ὁσίων αὐτοῦ.
Ὦ κύριε ἐγὼ δοῦλος σός. ἐγὼ
δοῦλος σὸς καὶ υἱὸς τῆς
παιδίσκης σου.
Διέρρηξας τοὺς δεσμούς
μου. σοὶ θύσω θυσίαν αἰνέ-
σεως. καὶ ἐν ὀνόματι κυρί-
ου ἐπικαλέσομαι.
Τὰς εὐχάς μου τῷ κυρίῳ ἀ-
ποδώσω ἐναντίον παντὸς
τοῦ λαοῦ αὐτοῦ ἐν αὐλαῖς
οἴκου κυρίου ἐν μέσῳ σου ἱε-
ρουσαλήμ.

Ἀλληλούια. ριϛ.

α ινεῖτε τὸν κύριον
πάντα τὰ ἔθνη.

mei. omnis homo men-
dax.
Quid retribuam domino
de omnibus quæ retri-
buit mihi.
Calicē salutaris accipiam
& nomen domini inuo-
cabo
Vota mei domino red-
dam coram omni
populo eius. præciosa in
conspectu domini mors
sanctorum eius.
O domine ego seruus tuus. ego
seruus tuus & filius
ancillæ tui.
Dirupisti uincula
mei. tibi sacrificabo hostiā lau-
dis. & in nomine do-
mini inuocabo.
Vota mei domino red-
dam coram omni
populo eius. in atriis
domus domini in medio tui Hie-
rusalem.

Alleluia. c xvi.

l audate dominum
omnes gentes.

ἐπαινέσατε αὐτὸν πάντες οἱ
λαοί.
Ὅτι ἐκραταιώθη τὸ ἔλεος
αὐτοῦ ἐφ᾽ ἡμᾶς. καὶ ἡ ἀλή
θεια τοῦ κυρίου μένει εἰς
τὸν αἰῶνα.

Ἀλληλούϊα. ριζ.

ἐ ξομολογεῖσθε τῷ
κυρίῳ ὅτι ἀγαθός.
ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐ-
τοῦ.
εἰπάτω δὴ οἶκος ἰσραὴλ ὅτι
ἀγαθός. ὅτι εἰς τὸν αἰῶνα τὸ
ἔλεος αὐτοῦ.
εἰπάτω δὴ οἶκος ἀαρὼν ὅτι
ἀγαθός. ὅτι εἰς τὸν αἰῶνα
τὸ ἔλεος αὐτοῦ.
εἰπάτωσαν δὴ πάντες οἱ
φοβούμενοι τὸν κύριον ὅτι
ἀγαθός. ὅτι εἰς τὸν αἰῶνα
τὸ ἔλεος αὐτοῦ.
ἐκ θλίψεως ἐπεκαλεσάμην
τὸν κύριον. καὶ ἐπήκουσέ
μου εἰς πλατυσμόν.
Κύριος ἐμοὶ βοηθός. καὶ
οὐ φοβηθήσομαι τί ποιή
σει μοι ἄνθρωπος.

laudate eum omnes
populi.
Quoniã cõfirmata est misericordia
eius super nos. & ueri
tas domini manet in
æternum.

Alleluia. cxvii.

c onfitemini
domino quoniam bonus.
quoniam ĩ sæculũ misericordia e-
ius.
Dicat domus Israel quod
bonus. quod in sæculum
misericordia eius.
Dicat domus aaron quod
bonus quod in sæculum
misericordia eius.
Dicant omnes
timentes dominum quod
bonus. quod in sæculum
misericordia eius.
Ex tribulatione inuocaui
dominum. & exaudiuit
me in latitudinem.
Dominus mihi adiutor. &
non timebo quid faci-
et mihi homo.

Κύριος ἐμοὶ βοηθός. κἀγὼ
ἐπόψομαι τοὺς ἐχθρούς
μου.
Ἀγαθὸν πεποιθέναι ἐπὶ κύ
ριον. ἢ πεποιθέναι ἐπ᾽ ἄν
θρωπον.
Ἀγαθὸν πεποιθέναι ἐπὶ κύρι
ον ἢ ἐλπίζειν ἐπ᾽ ἄρχουσι.
Πάντα τὰ ἔθνη ἐκύκλωσάν
με. καὶ τῷ ὀνόματι κυρίου
ἠμυνάμην αὐτούς.
Κυκλώσαντες ἐκύκλωσάν
με. καὶ τῷ ὀνόματι κυρίου
ἠμυνάμην αὐτούς.
ἐκύκλωσάν με ὡσεὶ μέλισ
σαι κηρίον. καὶ ἐξεκαύθησαν
ὡς πῦρ ἐν ἀκάνθαις. καὶ τῷ
ὀνόματι κυρίου ἠμυνάμην
αὐτούς.
Ὠσθεὶς ἀνετράπην τοῦ πε
σεῖν. καὶ ὁ κύριος ἀντιλά-
βετό μου.
Ἰσχύς μου καὶ ὕμνησίς μου
ὁ κύριος. καὶ ἐγένετό μοι εἰς
σωτηρίαν.
φωνὴ ἀγαλλιάσεως καὶ σω
τηρίας. ἐν σκηναῖς δικαί
ων.
Δεξιὰ κυρίου. ἐποίησε δύνα

Dominus mihi adiutor. & ego
deſpiciam inimicos
mei.
Bonum confidere in do
minum. quam confidere in homi-
nem.
Bonum confidere in do
minum quã ſperare in principibus.
Omnes gentes circuierunt
me. & in nomine domini
uindicaui eos.
Circundantes circundede-
runt me. & in nomine domini
uindicaui eos.
Circundederunt me ſicut a
pes fauum. & exarſerunt
ſicut ignis in ſpinis. &
nomine domini uindicaui.
eos.
Impulſus euerſus ſum ca
dere. & dominus ſuſce-
pit me.
Fortitudo mei & laus mei
dominus. & factus eſt mihi in
ſalutem.
Vox exultationis & ſalu-
tis in tabernaculis iuſto
rum.
Dextera domini fecit uir-

μιν. δεξιὰ κυρίου ὕψωσέ
με. δεξιὰ κυρίου ἐποίησε
δύναμιν.
Οὐκ ἀποθανοῦμαι. ἀλλὰ
ζήσομαι. καὶ διηγήσομαι
τὰ ἔργα κυρίου.
Παιδεύων ἐπαίδευσέ με ὁ
κύριος. τῷ δὲ θανάτῳ οὐ
παρέδωκέ με.
Ἀνοίξατέ μοι πύλας δικαιο
σύνης εἰσελθὼν ἐν αὐταῖς
ἐξομολογήσομαι τῷ κυρί
ῳ. αὕτη ἡ πύλη τοῦ κυρίου
δίκαιοι εἰσελεύσονται ἐν
αὐτῇ.
Ἐξομολογήσομαί σοι ὅτι ἐ
πήκουσάς μου. καὶ ἐγένου
μοι εἰς σωτηρίαν.
Λίθον ὃν ἀπεδοκίμασαν οἱ
οἰκοδομοῦντες. οὗτος ἐγε
νήθη εἰς κεφαλὴν γωνίας.
Παρὰ κυρίου ἐγένετο αὕτη.
καὶ ἔστι θαυμαστὴ ἐν ὀφθαλ
μοῖς ἡμῶν.
Αὕτη ἡ ἡμέρα ἣν ἐποίησεν
ὁ κύριος. ἀγαλλιασώμεθα
καὶ εὐφρανθῶμεν. ἐν αὐτῇ.
ὦ κύριε σῶσον δή. ὦ κύριε
εὐόδωσον δή. εὐλογημένος

tutem. dextera domini exaltauit
me. dextera domini fecit
uirtutem.
Non moriar. sed
uiuam. & narrabo
opera domini.
Castigans castigauit me
dominus. sed morti non
tradidit me.
Aperite mihi portas iusti
ciæ ingressus in eis
confitebor do
mino. hæc porta domini
iusti intrabunt in
ea.
Confitebor tibi quoniam ex
audisti me. & factus es
mihi in salutem.
Lapidem quem reprobauerunt
ædificantes. hic factus
est in caput anguli.
A domino factum est hoc.
& est mirabile in ocu
lis nostrum.
Hæc dies quam fecit
dominus. exultemus
& lætemur in ea
O domine salua. o domine
bene prosperare. benedictus

ὁ ἐρχόμενος ἐν ὀνόματι κυ-
ρίου.
εὐλογήκαμεν ὑμᾶς ἐξ οἴκου
κυρίου. θεὸς κύριος καὶ ἐπέ-
φανεν ἡμῖν.
Συστήσασθε ἑορτὴν ἐν τοῖς
πυκάζουσιν. ἕως τῶν κερά-
των τοῦ θυσιαστηρίου.
Θεός μου εἶ σὺ καὶ ἐξομολογή-
σομαί σοι. θεός μου εἶ σὺ καὶ
ὑψώσω σε.
Ἐξομολογήσομαί σοι ὅτι ἐπή-
κουσάς μου. καὶ ἐγένου
μοι εἰς σωτηρίαν.
Ἐξομολογεῖσθε τῷ κυρίῳ ὅτι
ἀγαθός. ὅτι εἰς τὸν αἰῶνα τὸ
ἔλεος αὐτοῦ.

ueniens in nomine do-
mini.
Benediximus uos ex domo
domini. deus dominus & illu-
xit nobis.
Constituite festum in
condensis. usque cor-
nua altaris.
Deus meus es tu & confitebor
tibi. deus meus es tu &
exaltabo te.
Confitebor tibi quoniam exau-
disti me & factus est
mihi in salutem.
Confitemini domino quoniam
bonus. quoniam in sæculum
misericordia eius.

Δό. κάθ. ιϛ. Ἀλληλούϊα. ριη.

Gloria. Sessio xvi. Alleluia. c xviii.

Μακάριοι οἱ ἄμωμοι ἐν
ὁδῷ. οἱ πορευόμενοι
ἐν νόμῳ κυρίου.
Μακάριοι οἱ ἐξερευνῶντες
τὰ μαρτύρια αὐτοῦ. ἐν ὅλῃ
καρδίᾳ ἐκζητήσουσιν αὐτόν.
Οὐ γὰρ οἱ ἐργαζόμενοι τὴν ἀνο-
μίαν. ἐν ταῖς ὁδοῖς αὐτοῦ ἐ-
πορεύθησαν.

Beati immaculati in
uia ambulantes in
lege domini.
Beati scrutantes
testimonia eius. in toto
corde exquirent eum.
Non enim operantes ini-
quitatem in uiis eius ambu-
lauerunt.

Σὺ ἐνετείλω τὰς ἐντολάς σου.
φυλάξασθαι σφόδρα.
Ὄφελον κατευθυνθείησαν αἱ
ὁδοί μου. τοῦ φυλάξασθαι
τὰ δικαιώματά σου.
Τότε οὐ μὴ αἰσχυνθῶ. ἐν τῷ
με ἐπιβλέπειν ἐπὶ πάσας.
τὰς ἐντολάς σου.
Ἐξομολογήσομαί σοι ἐν εὐθύ
τητι καρδίας. ἐν μεμαθη
κέναι με τὰ κρίματα τῆς
δικαιοσύνης σου.
Τὰ δικαιώματά σου φυλά
ξω. μή με ἐγκαταλίπῃς ἕ-
ως σφόδρα.
Ἐν τίνι κατορθώσει νεώτε
ρος τὴν ὁδὸν αὐτοῦ; ἐν τῷ
φυλάξασθαι τοὺς λόγους
σου.
Ἐν ὅλῃ καρδίᾳ μου ἐξεζήτη
σά σε. μὴ ἀπώσῃ με ἀπὸ
τῶν ἐντολῶν σου.
Ἐν τῇ καρδίᾳ μου ἔκρυψα·
τὰ λόγιά σου. ὅπως ἂν μὴ
ἁμάρτω σοι.
Εὐλογητὸς εἶ κύριε. δίδαξόν
με τὰ δικαιώματά σου.
Ἐν τοῖς χείλεσί μου ἐξήγγει
λα πάντα τὰ κρίματα τοῦ

Tu mandaſti mandata tui.
cuſtodiri nimis.
Vtinam dirigantur
uiæ mei. cuſtodire
iuſtificationes tui.
Tunc non confundar. in
me reſpicere in omnia
mandata tui.
Confitebor tibi in dire
ctione cordis. in didiciſ-
ſe me iudicia
iuſticiæ tuæ.
Iuſtificationes tui cuſto
diam: non me derelinquas uſ-
quequaque.
In quo corriget adole
ſcentior uiam eius? in
cuſtodire ſermones
tui.
In toto corde mei exqui
ſiui te. ne repellas me a
mandatis tui.
In corde mei abſcondi
eloquia tui. ut non
peccem tibi.
Benedictus es domine. doce
me iuſtificationes tui.
In labiis mei enuntia
ui omnia iudicia

στόματός σου.
ἐν τῇ ὁδῷ τῶν μαρτυρίων
σου ἐτέρφθην. ὡς ἐπὶ παν
τὶ πλούτῳ.
ἐν ταῖς ἐντολαῖς σου ἀδολε
σχήσω. καὶ κατανοήσω
τὰς ὁδούς σου.
ἐν τοῖς δικαιώμασί σου με
λετήσω. οὐκ ἐπιλήσομαι
τῶν λόγων σου.
Ἀνταπόδος τῷ δούλῳ σου
ζήσομαι καὶ φυλάξω τοὺς
λόγους σου.
Ἀποκάλυψον τοὺς ὀφθαλ
μούς μου. καὶ κατανοήσω τὰ
θαυμάσια ἐκ τοῦ νόμου σου.
Πάροικος ἐγώ εἰμι ἐν τῇ γῇ.
μὴ ἀποκρύψῃς ἀπ' ἐμοῦ
τὰς ἐντολάς σου.
Ἐπεπόθησεν ἡ ψυχή μου τοῦ
ἐπιθυμῆσαι τὰ κρίματά
σου ἐν παντὶ καιρῷ.
Ἐπετίμησας ὑπερηφάνοις
ἐπικατάρατοι οἱ ἐκκλίνον
τες ἀπὸ τῶν ἐντολῶν σου.
Περίελε ἀπ' ἐμοῦ ὄνειδος
καὶ ἐξουδένωσιν. ὅτι τὰ
μαρτύριά σου ἐξεζήτησα.
Καὶ γὰρ ἐκάθισαν ἄρχοντες

oris tui.
In uia testimoniorum
tui delectatus sum. sicut in o
mnibus diuitiis.
In mandatis tui exerce
bor & considerabo
uias tui.
In iustificationibus tui medi
tabor. non obliuiscar
sermonum tui.
Retribue seruo tui
uiuam & custodiam
sermones tui.
Reuela ocu-
los mei. & considerabo
mirabilia ex lege tui.
Incola ego sum in terra
non abscondas a me
mandata tui.
Concupiuit anima mea
desiderare iudicia
tui in omni tempore
Increpasti superbos.
maledicti declinan-
tes a mandatis tui.
Amputa a me opprobrium
& contemptum. quia
testimonia tui exquisiui.
Et enim sederunt principes

καὶ κατ᾽ ἐμοῦ κατελάλουν. ὁ
δὲ δοῦλός σου ἠδολέσχει ἐν
τοῖς δικαιώμασί σου.
Καὶ γὰρ τὰ μαρτύριά σου
μελέτη μου ἐστί. καὶ αἱ συμ
βουλίαι μου τὰ δικαιώμα
τά σου.
ἐκολλήθη τῷ ἐδάφει ἡ ψυ
χή μου. ζῆσόν με κατὰ τὸν
λόγον σου.
Τὰς ὁδούς μου ἐξήγγειλα
καὶ ἐπήκουσάς μου. δίδα
ξόν με τὰ δικαιώματά σου.
Ὁδὸν δικαιωμάτων σου
συνέτισόν με. καὶ ἀδολε
σχήσω ἐν τοῖς θαυμασίοις
σου.
ἐνύσταξεν ἡ ψυχή μου ἀπὸ ἀ
κηδίας. βεβαίωσόν με ἐν
τοῖς λόγοις σου.
Ὁδὸν ἀδικίας ἀπόστησον ἀ
π᾽ ἐμοῦ. καὶ τῷ νόμῳ σου
ἐλέησόν με.
Ὁδὸν ἀληθείας ᾑρετισάμην.
τὰ κρίματά σου οὐκ ἐπε
λαθόμην.
ἐκολλήθην τοῖς μαρτυρί
οις σου κύριε. μή με καται
σχύνῃς.

& aduersum me oblequebantur
sed seruus tui exercebatur in
iustificationibus tui.
Et enim testimonia tui
meditatio mei est. & consi
lia mei iustificationes
tui.
Adhæsit pauimento a
nima mei. uiuifica me secundum
uerbum tui.
Vias mei enuntiaui
& exaudisti me. do
ce me iustificationes tui.
Viam iustificationum tui
edoce me. & exerce
bor in mirabilibus
tui.
Dormitauit anima mei præ
tædio. confirma me in
uerbis tui.
Viam iniquitatis amoue
a me. & lege tui
miserere mei.
Viam ueritatis elegi.
iudicia tui non sum obli
tus.
Adhæsi testimo
niis tui domine. ne me con
fundas.

ὁδὸν ἐντολῶν σου ἔδραμον
ὅταν ἐπλάτυνας τὴν καρ
δίαν μου.
Νομοθέτησόν μοι κύριε τὴν
ὁδὸν τῶν δικαιωμάτων
σου. καὶ ἐκζητήσω αὐτὴν
διαπαντός.
Συνέτισόν με καὶ ἐξερευνή
σω τὸν νόμον σου. καὶ φυλά
ξω αὐτὸν ἐν ὅλῃ καρδίᾳ
μου.
Ὁδήγησόν με ἐν τῇ τρίβῳ
τῶν ἐντολῶν σου. ὅτι αὐτὴν
ἠθέλησα.
Κλῖνον τὴν καρδίαν μου εἰς
τὰ μαρτύριά σου. καὶ μὴ εἰς
πλεονεξίαν.
Ἀπόστρεψον τοὺς ὀφθαλμούς
μου. τοῦ μὴ ἰδεῖν ματαιό
τητα. ἐν τῇ ὁδῷ σου ζῆσόν
με.
Στῆσον τῷ δούλῳ σου τὸ λό
γιόν σου εἰς τὸν φόβον σου.
Περίελε τὸν ὀνειδισμόν μου
ὃν ὑπώπτευσα ὅτι τὰ κρί
ματά σου χρηστά.
Ἰδοὺ ἐπεθύμησα τὰς ἐντο
λάς σου. ἐν τῇ δικαιοσύνῃ
σου ζῆσόν με.

Viam mandatorum tui cucurri.
cum dilataſti
cor mei.
Legem pone mihi domine
uiam iuſtificationum
tui. & exquiram eam
ſemper.
Inſtrue me & ſcruta
bor legem tui. & cuſto
diam eam in toto corde
mei.
Deduc me in ſemita
mandatorum tui. quia ipſam
uolui.
Inclina cor mei in
teſtimonia tui. & non in
auariciam.
Auerte oculos
mei non uidere uanita
tem. in uia tui uiuifica
me.
Statue ſeruo tui elo
quium tui. in timorem tui.
Amputa opprobrium mei
quod ſuſpicatus ſum. quia iudi-
cia tui iucunda.
Ecce concupiui man
data tui. in iuſticia
tui uiuica me.

Καὶ ἔλθοι ἐπ' ἐμὲ τὸ ἔλεός
σου κύριε τὸ σωτήριόν σου
κατὰ τὸν λόγον σου.
Καὶ ἀποκριθήσομαι τοῖς ὀ
νειδίζουσί μοι λόγον. ὅτι ἤλ
πισα ἐπὶ τοῖς λόγοις σου.
Καὶ μὴ περιέλῃς ἐκ τοῦ στόμα.
τός μου. λόγον ἀληθείας ἕ-
ως σφόδρα. ὅτι ἐπὶ τοῖς
κρίμασί σου ἐπήλπισα.
Καὶ φυλάξω τὸν νόμον
σου διαπαντός. εἰς τὸν αἰ-
ῶνα. καὶ εἰς τὸν αἰῶνα
τοῦ αἰῶνος.
Καὶ ἐπορευόμην ἐν πλατυ
σμῷ. ὅτι τὰς ἐντολάς σου
ἐξεζήτησα.
Καὶ ἐλάλουν ἐν τοῖς μαρ
τυρίοις σου ἐναντίον βα
σιλέων. καὶ οὐκ ἠσχυνό
μην.
Καὶ ἐμελέτων ἐν ταῖς ἐντο
λαῖς σου αἷς ἠγάπησα
σφόδρα.
Καὶ ἦρα τὰς χεῖράς μου.
πρὸς τὰς ἐντολάς σου ἃς
ἠγάπησα. καὶ ἠδολέσχουν
ἐν τοῖς δικαιώμασί σου.
Μνήσθητι τὸν λόγον σου

Et ueniat ſuper me miſericordia
tui domine. ſalutare tui
ſecundum uerbum tui.
Et reſpondebo expro
brantibus mihi uerbum. quia ſpe
raui in ſermonibus tui.
En ne auferas ex o
re mei uerbum ueritatis uſ
quequaque. quia in
iudiciis tuis ſperaui.
Et cuſtodiam legem
tui ſemper. in ſæcu
lum. & in ſæculum
ſæculi.
Et ambulabam in latitu-
dine. quia mandata tui
exquiſiui.
Et loquebar in teſtimo
niis tui coram re
gibus & non confun
debar.
Et meditabar in manda
tis tuis quæ dilexi
nimis.
Et leuaui manus mei
ad mandata tui quæ
dilexi. & exercebar
in iuſtificationibus tui.
¶ Memento uerbi tui

τῷ δούλῳ σου. ὃμ ἐπήλ
πισάς με.
Αὕτη με παρεκάλεσεμ ἐμ
τῇ ταπεινώσει μου. ὅτι
τὸ λόγιόμ σου ἔζησέ με.
Ὑπερήφανοι παρηνόμουμ
ἕως σφόδρα. ἀπὸ δὲ τοῦ
νόμου σου οὐκ ἐξέκλινα.
Ἐμνήσθημ τῶμ κριμάτωμ
σου ἀπ᾽ αἰῶνος κύριε. καὶ
παρεκλήθημ.
Ἀθυμία κατέσχε με ἀπὸ ἁ-
μαρτωλῶμ ἐγκαταλιμ-
πανόντωμ τὸμ νόμομ σου.
Ψαλτὰ ἦσάμ μοι τὰ δικαιώ
ματά σου. ἐμ τόπῳ παροικί
ας μου.
Ἐμνήσθημ ἐμ νυκτὶ τοῦ ὀνό
ματός σου κύριε. καὶ ἐφύ
λαξα τὸμ νόμομ σου.
Αὕτη ἐγενήθη μοι. ὅτι τὰ δι
καιώματά σου ἐξεζήτησα.
Μερίς μου εἶ κύριε. εἶπα
τοῦ φυλάξασθαι τὸμ νό
μόμ σου.
Ἐδεήθημ τοῦ προσώπου
σου ἐμ ὅλῃ τῇ καρδίᾳ μου.
ἐλέησόμ με κατὰ τὸ λόγιόμ
σου.

seruo tui. quod spera-
re fecisti me.
Hæc me consolata est in
humilitate mei. quia
eloquium tui uiuificauit me.
Superbi inique agebant
usquequaq;. ab autem
lege tui non declinaui.
Memor fui iudiciorum
tui a sæculo domine. &
consolatus sum.
Tædium detinuit me præ pec
catoribus. derelinquen
tibus legem tui.
Cantabiles erant mihi iustifi
cationes tui. in loco incola
tus mei.
Memor fui in nocte no
minis tui domine. & custo
diui legem tui.
Hæc facta est mihi. quia iustifica-
tiones tui exquisiui.
Portio mei es tu domine. dixi
custodire le-
gem tui.
Deprecatus sum faciem
tui in toto corde mei.
miserare me secundum eloquium
tui.

Διελογισάμην τὰς ὁδούς
σου καὶ ἐπέστρεψα τοὺς
πόδας μου εἰς τὰ μαρτύ
ριά σου.
Ἡτοιμάσθην καὶ οὐκ ἐτα
ράχθην. τοῦ φυλάξασθαι
τὰς ἐντολάς σου.
Σχοινία ἁμαρτωλῶν περι
επλάκησάν μοι. καὶ τοῦ
νόμου σου οὐκ ἐπελαθό
μην.
Μεσονύκτιον ἐξηγειρόμην
τοῦ ἐξομολογεῖσθαί σοι. ἐ
πὶ τὰ κρίματα τῆς δικαι
οσύνης σου.
Μέτοχος ἐγὼ εἰμὶ πάντων
τῶν φοβουμένων σε. καὶ
τῶν φυλασσόντων τὰς ἐν
τολάς σου.
Τοῦ ἐλέους σου κύριε πλή
ρης ἡ γῆ. τὰ δικαιώματά
σου δίδαξόν με.
Χρηστότητα ἐποίησας μετὰ
τοῦ δούλου σου. κύριε. κα
τὰ τὸν λόγον σου.
Χρηστότητα καὶ παιδείαν
καὶ γνῶσιν δίδαξόν με. ὅτι
ταῖς ἐντολαῖς σου ἐπίστευ
σα.

Cogitaui uias
tui & conuerti
pedes mei in testi
monia tui.
Paratus sum & non sum
turbatus. custodire
mandata tui.
Funes peccatorum Th.
circumplexi sunt me. &
legis tui non sum obli
tus.
Media nocte surgebam
confiteri tibi. su
per iudicia iusti
ciæ tui.
Particeps ego sum omnium
timentium te. &
custodientium manda
ta tui.
Misericordiæ tui domine ple
na terra. iustificationes
tui doce me.
Bonitatem fecisti cum
seruo tui domine. se
cundum uerbum tui
Bonitatem & disciplinam
& scientiam doce me. quia
mandatis tui credi
di.

Πρὸ τοῦ με ταπεινωθῆναι
ἐγὼ ἐπλημμέλησα. Διὰ
τοῦτο τὸ λόγιόν σου ἐφύ
λαξα.
Χρηστὸς εἶ σὺ κύριε. καὶ ἐν
τῇ χρηστότητί σου δίδα
ξόν με τὰ δικαιώματά σου
ἐπληθύνθη ἐπ' ἐμὲ ἀδικία
ὑπερηφάνων. ἐγὼ δὲ ἐν ὅ
λῃ καρδίᾳ μου ἐξερευνήσω
τὰς ἐντολάς σου.
ἐτυρώθη ὡς γάλα ἡ καρδία
αὐτῶν. ἐγὼ δὲ τὸν νόμον
σου ἐμελέτησα.
Ἀγαθόν μοι ὅτι ἐταπείνωσάς
με. ὅπως ἂν μάθω τὰ δι
καιώματά σου.
Ἀγαθός μοι ὁ νόμος τοῦ στόμα
τός σου. ὑπὲρ χιλιάδας
χρυσίου καὶ ἀργυρίου.

Ante me humiliari
ego deliqui. propte
rea eloquium tui cu-
stodiui.
Bonus es tu domine. & in
bonitate tui do-
ce me iustificationes tui.
Multiplicata est super me iniquitas
superborum. ego autem in to
to corde mei scrutabor
mandata tui
Coagulatum est sicut lac cor
eorum. ego autem legem
tui meditatus sum.
Bonum mihi quia humiliasti
me. ut discam iustifi
cationes tui.
Bonum mihi lex o
ris tui. super
auri & argenti.

Δό. Στάσις. α.

Gloria. Statio prima.

α ι χεῖρές σου ἐποίησάν
με ἔπλασάν με.
συνέτισόν με καὶ μαθήσομαι
τὰς ἐντολάς σου.
Οἱ φοβούμενοί σε ὄψονταί με
καὶ εὐφρανθήσονται. ὅτι

m anus tui fecerunt me
& finxerunt me.
instrue me ut discam
mandata tui.
Timentes te uidebunt me
& laetabuntur. quia

εἰς τοὺς λόγους σου ἐπήλ
πισα.
ἔγνων κύριε ὅτι δικαιοσύ
νη τὰ κρίματά σου, καὶ ἀ
ληθείᾳ σου ἐταπείνωσάς με.
Γενηθήτω δὴ τὸ ἔλεός σου
τοῦ παρακαλέσαι με. κατὰ
τὸ λόγιόν σου τῷ δούλῳ
σου.
ἐλθέτωσάν μοι οἱ οἰκτιρμοί
σου καὶ ζήσομαι. ὅτι ὁ νό
μος σου μελέτη μού ἐστιν.
αἰσχυνθήτωσαν ὑπερήφα
νοι ὅτι ἀδίκως ἠνόμησαν
εἰς ἐμέ. ἐγὼ δὲ ἀδολεσχή
σω ἐν ταῖς ἐντολαῖς σου.
ἐπιστρεψάτωσάν με οἱ φο
βούμενοί σε. καὶ οἱ γινώσ
κοντες τὰ μαρτύριά σου.
Γενηθήτω ἡ καρδία μου ἄμω
μος ἐν τοῖς δικαιώμασί
σου. ὅπως ἂν μὴ αἰσχυνθῶ.
ἐκλείπει εἰς τὸ σωτήριόν
σου ἡ ψυχή μου. εἰς τοὺς λό
γους σου ἐπήλπισα.
ἐξέλιπον οἱ ὀφθαλμοί μου
εἰς τὸ λόγιόν σου. λέγον
τες πότε παρακαλέσεις
με.

in uerba tui super spera
ui.
Cognoui domine quia iusti
cia iudicia tui. & ueri
tate tui humiliasti me.
Fiat misericordia tui
consolari me. secundum
eloquium tui seruo
tui.
Veniant mihi miserationes
tui domine & uiuam. quia
lex tui meditatio mei est.
Erubescant super
bi quia iniuste iniquitatē fecerunt
in me. ego autem exer
cebor in mandatis tui
Conuertant me ti
mentes te. & cognoscen
tes testimonia tui.
Fiat cor mei imma
culatum in iustificationibus
tui. ut non confundar.
Deficit in salutare
tui anima mei. in uer
ba tui super speraui.
Defecerunt oculi mei
in eloquium tui. dicen
tes quando consolaberis
me.

ὅτι ἐγενήθην ὡς ἀσκὸς ἐν
πάχνῃ. τὰ δικαιώματά σου
οὐκ ἐπελαθόμην.
Πόσαι αἱ ἡμέραι τοῦ δούλου
σου. πότε ποιήσεις μοι ἐκ
τῶν καταδιωκόντων με
κρίσιν.
Διηγήσαντό μοι παράνομοι
ἀδολεσχίας. ἀλλ᾽ οὐχ ὡς ὁ
νόμος σου κύριε.
Πᾶσαι αἱ ἐντολαί σου ἀλήθει
α. ἀδίκως κατεδίωξάν με
βοήθησόν μοι.
Παραβραχὺ συνετέλεσάν
με ἐν τῇ γῇ. ἐγὼ δὲ οὐκ ἐγ
κατέλιπον τὰς ἐντολάς
σου.
Κατὰ τὸ ἔλεός σου ζῆσόν
με. καὶ φυλάξω τὰ μαρτύ
ρια τοῦ στόματός σου.
Εἰς τὸν αἰῶνα κύριε ὁ λόγος
σου διαμένει ἐν τῷ οὐρανῷ.
Εἰς γενεὰν καὶ γενεὰν ἡ ἀλή
θειά σου. ἐθεμελίωσας τὴν
γῆν καὶ διαμένει.
Τῇ διατάξει σου διαμένει ἡ
ἡμέρα. ὅτι τὰ σύμπαντα
δοῦλα σά.
Εἰ μὴ ὅτι ὁ νόμος σου μελέτη

Quia factus sum sicut uter in
pruina. iustificationes tui
non sum oblitus.
Quot dies serui
tui. quando facies mihi ex
persequentibus me
iudicium.
Narrauerũt mihi iniqui
fabulationes. sed nõ ut
lex tui domine.
Omnia mandata tui ueri
tas. inique persecuti sunt me
adiuua me.
Paulo minus consummauerũt
me in terra. ego autem non dere
liqui mandata
tui.
Secũdum misericordiã tui uiuifica
me. & custodiam testimo
nia oris tui.
In æternum domine uerbum
tui ꝑmanet in cælo.
In generationẽ et generationẽ ueri
tas tui. fundasti
terrã et ꝑmanet
Ordinatione tui ꝑseuerat
dies. quoniã omnia
subdita tua.
Nisi quod lex tui meditatio

μου ἐστί. τότε ἂν ἀπωλό
μην ἐν τῇ ταπεινώσει μου.
εἰς τὸν αἰῶνα οὐ μὴ ἐπιλά
θωμαι τῶν δικαιωμάτων
σου. ὅτι ἐν αὐτοῖς ἔζησάς
με.
Σός εἰμί ἐγώ. σῶσον με. ὅτι
τὰ δικαιώματά σου ἐξεζή
τησα.
Ἐμὲ ὑπέμειναν ἁμαρτω
λοὶ τοῦ ἀπολέσαι με. τὰ
μαρτύριά σου συνῆκα.
Πάσης συντελείας εἶδον
πέρας. πλατεῖα ἡ ἐντολή
σου σφόδρα.
Ὡς ἠγάπησα τὸν νόμον σου
κύριε. ὅλην τὴν ἡμέραν με
λέτη μου ἐστίν.
Ὑπὲρ τοὺς ἐχθρούς μου ἐσό
φισάς με τὴν ἐντολήν σου.
ὅτι εἰς τὸν αἰῶνα ἐμή ἐστιν.
Ὑπὲρ πάντας τοὺς διδά
σκοντάς με συνῆκα. ὅτι
τὰ μαρτύριά σου μελέ
τη μου ἐστίν.
Ὑπὲρ πρεσβυτέρους συ
νῆκα. ὅτι τὰς ἐντολάς σου
ἐξεζήτησα.
Ἐκ πάσης ὁδοῦ πονηρᾶς

mei est . tunc perijs
sem in humilitate mei.
In æternum non obliui
scar iustificationũ
tui quia in eis uiuificasti
me.
Tuus sum ego salua me. quia
iustificationes tui exqui
siui .
Me expectauerũt peccato
res perdere me.
testimonia tui intellexi.
Omnis consũmationis uidi
finẽ. latũ mandatũ
tui nimis .
Quam dilexi legem tui
domine .totam diem me
ditatio mei est.
Super inimicos mei sapientem
fecisti me mandato tui .
quia in æternum meũ est .
Super omnes docen
tes me intellexi . quia
testimonia tui medita
tio mei est.
Super seniores intelle
xi . quia mãdata tui
exquisiui .
Ex omni uia mala

ἐκώλυσα τοὺς πόδας μου.
ὅπως ἂν φυλάξω τοὺς
λόγους σου.
Ἀπὸ τῶν κριμάτων σου
οὐκ ἐξέκλινα. ὅτι σὺ ἐνο
μοθέτησάς με.
Ὡς γλυκέα τῷ λάρυγγί μου
τὰ λόγιά σου. ὑπὲρ τὸ μέ
λι τῷ στόματί μου.
Ἀπὸ τῶν ἐντολῶν σου συνῆ
κα. διατοῦτο ἐμίσησα
πᾶσαν ὁδὸν ἀδικίας.
Λύχνος τοῖς ποσί μου ὁ
νόμος σου. καὶ φῶς ταῖς
τρίβοις μου.
Ὤμοσα καὶ ἔστησα τοῦ φυ
λάξασθαι τὰ κρίματα
τῆς δικαιοσύνης σου.
Ἐταπεινώθην ἕως σφό
δρα κύριε. ζῆσόν με κα
τὰ τὸν λόγον σου.
Τὰ ἑκούσια τοῦ στόματός
μου εὐδόκησον δὴ κύριε.
καὶ τὰ κρίματά σου δίδα
ξόν με.
Ἡ ψυχή μου ἐν ταῖς χερσί
σου διαπαντός. καὶ τοῦ νό
μου σου οὐκ ἐπελαθόμην.
ἔθεντο ἁμαρτωλοὶ παγίδα

prohibui pedes mei
ut custodiam
uerba tui.
A iudiciis tui
nō declinaui. quia tu legē
posuisti mihi.
Quam dulcia fauci mei
eloquia tui. super
mel ori mei.
A mandatis tui in
tellexi. propterea odiui
omnē uiam iniquitatis.
Lucerna pedibus mei
lex tui. & lumen
semitis mei
Iuraui & statui custo
dire iudicia
iusticiae tui.
Humiliatus sum usqqua
que domine. uiuifica me se
cundū uerbum tui.
Voluntaria oris
mei. proba domine
& iudicia tui do
ce me.
Anima mei in manibus
tui semper. & le
gis tui non sum oblitus.
Posuerunt peccatores laqueū

μοι. καὶ ἐκ τῶν ἐντολῶν
σου οὐκ ἐπλανήθην.
ἐκληρονόμησα τὰ μαρτύ
ριά σου εἰς τὸν αἰῶνα. ὅτι
ἀγαλλίαμα τῆς καρδίας
μου εἰσίν.
ἔκλινα τὴν καρδίαν μου
τοῦ ποιῆσαι τὰ δικαιώμα
τά σου εἰς τὸν αἰῶνα δι
ἀντάμειψιν.
Παρανόμους ἐμίσησα.
τὸν δὲ νόμον σου ἠγάπη
σα.
Βοηθός μου καὶ ἀντιλή
πτωρ μου εἶ σύ. εἰς τοὺς λό
γους σου ἐπήλπισα.
ἐκκλίνατε ἀπ᾽ ἐμοῦ πονη
ρευόμενοι. καὶ ἐξερευνή
σω τὰς ἐντολὰς τοῦ θεοῦ
μου.
Ἀντιλαβοῦ μου κατὰ τὸ λό
γιόν σου. καὶ ζήσομαι. καὶ μὴ
καταισχύνῃς με ἀπὸ τῆς
προσδοκίας μου.
Βοήθησόν με καὶ σωθήσο
μαι. καὶ μελετήσω ἐν τοῖς
δικαιώμασί σου διαπαν
τός.
ἐξουδένωσας πάντας

mei & ex mandatis
tui non erraui.
Hæreditate acquisiui testi-
monia tui in æternum. quia
exultatio cordis
mei sunt.
Inclinaui cor mei
facere iustifi-
cationes tui in æternum pro
pter retributionem.
Iniquos odio habui.
sed legem tui dile
xi.
Adiutor mei & susce
ptor mei es tu. in uer-
ba tui super speraui.
Declinate a me mali
gni. & scruta-
bor mandata dei
mei.
Suscipe me secundum elo-
quium tui. & uiuifica me. & non
confundas me ab
expectatione mei
Adiuua me & salua
bor. & meditabor in
iustificationibus tui sem
per.
Spreuisti omnes

τοὺς ἀποστατοῦντας ἀπὸ
τῶν δικαιωμάτων σου. ὅ
τι ἄδικον τὸ ἐνθύμημα
αὐτῶν.
Παραβαίνοντας ἐλογισά
μην πάντας τοὺς ἁμαρ
τωλοὺς τῆς γῆς. διὰ τοῦ
το ἠγάπησα τὰ μαρτύ
ριά σου.
Καθήλωσον ἐκ τοῦ φόβου
σου τὰς σάρκας μου. ἀ
πὸ γὰρ τῶν κριμάτων
σου ἐφοβήθην.
Ἐποίησα κρῖμα καὶ δικαιο
σύνην. μὴ παραδῶς με τοῖς
ἀδικοῦσί με.
Ἔκδεξαι τὸν δοῦλόν σου εἰς
ἀγαθόν. μὴ συκοφαντησά
τωσάν με ὑπερήφανοι.
Οἱ ὀφθαλμοί μου ἐξέλιπον
εἰς τὸ σωτήριόν σου. καὶ
εἰς τὸ λόγιον τῆς δικαιο
σύνης σου.
Ποίησον μετὰ τοῦ δούλου
σου κατὰ τὸ ἔλεός σου, καὶ
τὰ δικαιώματά σου δίδα
ξόν με.
Δοῦλός σου εἰμὶ ἐγώ. συνέτι
σόν με, καὶ γνώσομαι τὰ

deficientes a
iuſtificationibus tui qui.
a iniuſta cogitatio
eorum.
Transgredientes reputa
ui omnes peccato
res terræ. id
eo dilexi teſtimo
nia tui.
Confige ex timore
tui carnes mei.
ab enim iudiciis
tui timui.
Feci iudicium. & iuſti
ciam. non tradas me
calumniantibus me.
Suſcipe ſeruum tui in
bonum. non calumnien
tur me ſuperbi.
Oculi mei defecerunt
in ſalutare tui. &
in eloquium iuſti
ciæ tui.
Fac cum ſeruo
tui ſecundum miſericordiam tui. &
iuſtificationes tui do
ce me.
Seruus tui ſum ego. eru
di me. & ſciam

μαρτύριάσου.
Καιρὸσ τοῦ ποιῆσαι τῷ κυ-
ρίῳ. διεσκέδασαν τὸν νό-
μονσου·
Διατοῦτο ἠγάπησα τὰς
ἐντολάσσου ὑπὲρ χρυσίον
καὶ τοπάζιον.
Διατοῦτο πρὸς πάσας τὰς
ἐντολάσσου κατωρθούμην.
πᾶσαν ὁδὸν ἄδικον ἐμίσησα.
θαυμαστὰ τὰ μαρτύριάσου.
διατοῦτο ἐξηρεύνησεν
αὐτὰ ἡ ψυχήμου.
Ἡ δήλωσις τῶν λόγωνσου
φωτιεῖ. καὶ συνετιεῖ νηπίους.
Τὸ στόμαμου ἤνοιξα, καὶ εἵλ-
κυσα πνεῦμα. ὅτι τὰς ἐν-
τολάσσου ἐπεπόθουν.

Δό. στάσις. β.

Ἐ πίβλεψον ἐπ' ἐμὲ καὶ ἐλέ-
ησόν με. κατὰ τὸ κρίμα
τῶν ἀγαπώντων τὸ ὄνομάσου
Τὰ διαβήματά μου κατεύ-
θυνον κατὰ τὸ λόγιόν σου.
καὶ μὴ κατακυριευσάτω
μου πᾶσα ἀνομία.
Λύτρωσαί με ἀπὸ συκοφαν-

testimonia tui.
Tempus faciendi do
mino, dissipauerunt le
gem tui.
Ideo dilexi
mandata tui super aurum
& topazion
Propterea ad omnia
mandata tui dirigebar
omnem uiam iniquam odio habui.
Mirabilia testimonia tui.
ideo scrutata est
ea anima mei.
Declaratio sermonum tui
illuminabit. & erudiet paruulos.
Os mei aperui. & tra
xi spiritum. quia man
data tui desiderabam.

Gloria. Statio secunda.

a spice in me. & misera
re me. secundum iudicium
diligentium nomen tui.
Gressus mei di-
rige secundum eloquium tui.
& non dominetur
mei omnis iniquitas.
Redime me a ca

τίασ ἀνθρώπων. καὶ φυ
λάξω τὰσ ἐντολάσ σου.
Τὸ πρόσωπόν σου ἐπίφα
νον ἐπὶ τὸν δοῦλον σου. καὶ
δίδαξόν με τὰ δικαιώματά
σου.
Διεξόδουσ ὑδάτων κατέδυ
σαν οἱ ὀφθαλμοί μου. ἐπεὶ
οὐκ ἐφύλαξαν τὸν νόμον σου.
Δίκαιοσ εἶ κύριε. καὶ εὐθεῖσ
αἱ κρίσεισ σου.
Ἐνετείλω δικαιοσύνην τὰ
μαρτύριά σου. καὶ ἀλήθει-
αν σφόδρα
Ἐξέτηξέ με ὁ ζῆλόσ σου. ὅτι ἐ-
πελάθοντο τῶν λόγων σου
οἱ ἐχθροί μου.
Πεπυρωμένον τὸ λόγιόν
σου σφόδρα. καὶ ὁ δοῦλοσ
σου ἠγάπησεν αὐτό.
Νεώτεροσ ἐγώ εἰμὶ καὶ ἐξου-
δενωμένοσ. τὰ δικαιώματά
σου οὐκ ἐπελαθόμην.
Ἡ δικαιοσύνη σου δικαιοσύ
νη εἰσ τὸν αἰῶνα. καὶ ὁ νόμοσ
σου ἀλήθεια.
Θλίψεισ καὶ ἀνάγκαι εὕροσάν
με. αἱ ἐντολαί σου μελέτη μου.
Δικαιοσύνη τὰ μαρτύριά σου

lumnia hominum. & custo-
diam mandata tui.
Faciem tui illu-
stra super seruum tui. &
doce me iustificationes
tui.
Exitus aquarũ intra
uerunt oculi mei. quoniam
non custodierũt legem tui.
Iustus es domine. & recta
iudicia tui.
Mandasti iusticiam
testimonia tui & uerita
tem nimis.
Tabefecit me zelus tui quia obli
ti sunt uerborũ tui
inimici mei.
Ignitum eloquium
tui uehementer & seruus
tui dilexit ipsum.
Iunior ego sum & con
temptus. iustificationes
tui non sum oblitus.
Iusticia tui iusti
cia in æternum. & lex
tui ueritas.
Tribulatiões & necessitás ĩuenerũt
me. mandata tui meditatio mei.
Iusticia testimonia tui

εἰσ τὸν αἰῶνα. συνέτισόν με
καὶ ζήσομαι
ἐκέκραξα ἐν ὅλῃ καρδίᾳ μου
ἐπάκουσόν μου κύριε. τὰ δι
καιώματά σου ἐκζητήσω.
ἐκέκραξά σοι σῶσόν με: καὶ
φυλάξω τὰ μαρτύριά σου
Προέφθασα ἐν ἀωρίᾳ καὶ ἐ
κέκραξα. εἰσ τοὺσ λόγουσ
σου ἐπήλπισα.
Προέφθασαν οἱ ὀφθαλμοί μου
πρὸσ ὄρθρον τοῦ μελετᾶν
τὰ λόγιά σου.
Τῆσ φωνῆσ μου ἄκουσον κύρι-
ε. κατὰ τὸ ἔλεόσ σου. κατὰ
τὸ κρῖμά σου ζῆσόν με.
Προσήγγισαν οἱ καταδιώκον-
τέσ με ἀνομίᾳ. ἀπὸ δὲ τοῦ
νόμου σου ἐμακρύνθησαν.
ἐγγὺσ εἶ σὺ κύριε. καὶ πᾶσαι
αἱ ὁδοί σου ἀλήθεια.
Κατ' ἀρχὰσ ἔγνων ἐκ τῶν μαρ-
τυρίων σου. ὅτι εἰσ τὸν αἰῶ-
να ἐθεμελίωσασ αὐτά.
Ἴδε τὴν ταπείνωσίν μου καὶ
ἐξελοῦ με. ὅτι τοῦ νόμου σου
οὐκ ἐπελαθόμην.
Κρῖνον τὴν κρίσιν μου καὶ
λύτρωσαί με. διὰ τὸν λό-

in æternum. erudi me
& uiuam
Clamaui in toto corde mei
exaudi me domine. iustifi
cationes tui requiram.
Clamaui tibi salua me. &
custodiam testimonia tui.
Præueni in immaturitate & cla
maui. in uerba
tui super speraui.
Præuenerunt oculi mei
ad diluculum meditari
eloquia tui.
Vocem mei audi do
mine secūdū misericordiā tui. se
cundum iudicium tui uiuifica me.
Appropinquauerunt perse
quentes me iniquitati. ab autem
lege tui elongauerunt.
Prope es tu domine. & omnes
uiæ tui ueritas.
Initio cognoui ex testi-
moniis tui. quia in æter
num fundasti ea
Vide humilitatem mei. &
eripe me. quia legis tui
non sum oblitus.
Iudica iudicium mei. &
redime me propter elo-

Γονσου ζῆσονμε
Μακρὰν ἀπὸ ἁμαρτωλῶν
σωτηρία. ὅτι τὰ δικαιώμα
τάσου οὐκ ἐξεζήτησαν.
Οἱ οἰκτιρμοίσου πολλοὶ κύριε.
κατὰ τὸ κρῖμά σου ζῆσονμε.
Πολλοὶ οἱ ἐκδιώκοντές με
καὶ θλίβοντές με. ἐκ τῶν.
μαρτυρίων σου οὐκ ἐξέκλι-
να.
Εἶδον ἀσυνετοῦντας καὶ ἐξ
ετηκόμην. ὅτι τὰ λόγιά
σου οὐκ ἐφυλάξαντο.
Ἴδε ὅτι τὰς ἐντολάς σου ἠγά
πησα κύριε. ἐν τῷ ἐλέει
σου ζῆσόν με.
Ἀρχὴ τῶν λόγων σου ἀλήθεια
καὶ εἰς τὸν αἰῶνα πάντα
τὰ κρίματα τῆς δικαιο
σύνης σου.
Ἄρχοντες κατεδίωξάν με
δωρεάν, καὶ ἀπὸ τῶν λόγων
σου ἐδειλίασεν ἡ καρδία
μου.
Ἀγαλλιάσομαι ἐγὼ ἐπὶ τὰ
λόγιά σου. ὡς ὁ εὑρίσκων
σκῦλα πολλά.
Ἀδικίαν ἐμίσησα καὶ ἐβδε
λυξάμην. τὸν δὲ νόμον σου

quiũ tui uiuifica me.
Longe a peccatoribus
salus .quia iustifica
tiones tui nõ exquisierũt
Miserationes tui multæ domine
secũdũ iudiciũ tui uiuifica me
Multi persequentes me
& tribulantes me ex
testimoniis tui non declina
ui.
Vidi desipientes & tabe
scebam .quia eloquia
tui non custodierunt .
Vide quoniam mandata tui di
lexi domine . in misericordia
tui uiuifica me.
Principiũ uerborũ tui ueritas
& in æternũ omnia
iudicia iusti
ciæ tui.
Principes persecuti sunt me
gratis .& a uerbis
tui formidauit cor
mei.
Exultabo ego super
eloquia tui. sicut inueniens
spolia multa.
Iniquitatẽ odi & abomi
natus sum .sed legẽ tui

ἠγάπησα.
Ἑπτάκις ἡμέρας ᾔνεσά σε ἐ
πὶ τὰ κρίματα τῆς δικαιο
σύνης σου
Εἰρήνη πολλὴ τοῖς ἀγαπῶσι
τὸν νόμον σου. καὶ οὐκ ἔστιν
αὐτοῖς σκάνδαλον.
Προσεδόκων τὸ σωτήριόν σου
κύριε. καὶ τὰς ἐντολάς σου ἠ
γάπησα.
Ἐφύλαξεν ἡ ψυχή μου τὰ
μαρτύριά σου. καὶ ἠγάπησεν
αὐτὰ σφόδρου.
Ἐφύλαξα τὰς ἐντολάς σου
καὶ τὰ μαρτύριά σου. ὅτι
πᾶσαι αἱ ὁδοί μου ἐναντί-
ον σου κύριε.
Ἐγγισάτω ἡ δέησίς μου ἐνώ-
πιόν σου κύριε κατὰ τὸ λό-
γιόν σου συνέτισόν με.
Εἰσέλθοι τὸ ἀξίωμά μου ἐνώ-
πιόν σου κύριε. κατὰ τὸ λό-
γιόν σου ῥῦσαί με.
Ἐξερεύξαιντο τὰ χείλη
μου ὕμνον. ὅταν διδάξῃς
με τὰ δικαιώματά σου.
Φθέγξαιτο ἡ γλῶσσά μου
τὰ λόγιά σου. ὅτι πᾶσαι αἱ
ἐντολαί σου δικαιοσύνη.

dilexi.
Septies die laudaui te ſu
per iudicia iuſti
ciæ tui.
Pax multa diligentibus
legem tui. et non eſt
eis ſcandalum.
Expectabam ſalutare tui
domine. & mandata tui di
lexi.
Cuſtodiuit anima mei
teſtimonia tui. et dilexit
ea uæhementer.
Seruaui mandata tui
& teſtimonia tui. quia
omnes uiæ mei co
ram te domine.
Appropinquet deprecatio mei co-
ram te domine iuxta elo
quium tui erudi me.
Intret poſtulatio mei co
ram te domine. ſecundum elo
quium tui libera me.
Eructent labia
mei hymnum. cum docueris
me iuſtificationes tui.
Pronuntiet lingua mei
eloquia tui quia omnia
mandata tui iuſticia.

Γενέσθω ἡ χείρσου τοῦ σῶ-
σαί με. ὅτι τὰς ἐντολάς
σου ᾑρετισάμην.
ἐπεπόθησα τὸ σωτήριόν
σου κύριε. καὶ ὁ νόμοσσου
μελέτη μου ἐστί.
Ζήσεται ἡ ψυχή μου καὶ αἰ
νέσησε. καὶ τὰ κρίματά
σου βοηθήσῃ μοι.
ἐπλανήθην ὡς πρόβατον ἀ
πολωλός. ζήτησον τὸν δοῦ
λονσου. ὅτι τὰς ἐντολάς
σου οὐκ ἐπελαθόμην.

Δό. Στάσις. γ. Κάθ. ιζ.
ᾠδὴ τῶν ἀναβαθμῶν. ριθ.

Π ρὸς κύριον ἐν τῷ θλί
βεσθαί με ἐκέκραξα. καὶ εἰ
σήκουσέ μου.
Κύριε ῥῦσαι τὴν ψυχήν μου
ἀπὸ χειλέων ἀδίκων καὶ
ἀπὸ γλώσσης δολίας.
Τί δοθείη σοι καὶ τί προστε
θείη σοι πρὸς γλῶσσαν δολί
αν.
Τὰ βέλη τοῦ δυνατοῦ ἠκο
νημένα σὺν τοῖς ἄνθραξι
τοῖς ἐρημικοῖς.

Fiat manus tui sal
uare me. quoniam mandata
tui elegi.
Concupiui salutare
tui domine & lex tui
meditatio mei est.
Viuet anima mei & lauda
bit te. & iudicia
tui adiuuabũt me.
Erraui sicut ouis quæ
periit quære ser
uum tui quia mandata
tui non sum oblitus.

Gloria. Statio tertia. Sessio. xvii
Canticum graduũ. C. xviiii.

A d dominum in tribula
ri me clamaui. & exau
diuit me.
Domine libera animam mei
a labiis iniustis. &
a lingua dolosa
Quid detur tibi & quid appona
tur tibi ad linguam do
losam
Sagittæ potentis acu
tæ cum carbonibus
desolatoriis.

Οἴμοι ὅτι ἡ παροικία μου ἐ
μακρύνθη. κατεσκήνωσα με
τὰ τῶν σκηνωμάτων κηδάρ
πολλὰ παρῴκησεν ἡ ψυχή μου.
Μετὰ τῶν μισούντων τὴν εἰ
ρήνην. ἤμην εἰρηνικός. ὅταν
ἐλάλουν αὐτοῖς ἐπολέ
μουν με δωρεάν.

ᾠδὴ τῶν ἀναβαθμῶν. ρκ.

ἦ ρα τοὺς ὀφθαλμούς
μου εἰς τὰ ὄρη. ὅθεν ἥξει
ἡ βοήθειά μου.
Ἡ βοήθειά μου παρὰ κυρίου
τοῦ ποιήσαντος τὸν οὐρανὸν
καὶ τὴν γῆν.
Μὴ δώῃς εἰς σάλον τὸν πόδα
σου. μηδὲ νυστάξει ὁ φυλάσ
σων σε.
Ἰδοὺ οὐ νυστάξει οὐδὲ ὑπνώ
σει ὁ φυλάσσων τὸν ἰσραήλ.
Κύριος φυλάξει σε. κύριος
σκέπη σου ἐπὶ χεῖρα δεξιάν
σου.
Ἡμέρας ὁ ἥλιος οὐ συγκαύσει
σε. οὐδὲ ἡ σελήνη τὴν νύκτα.
Κύριος φυλάξει σε ἀπὸ παν
τὸς κακοῦ. φυλάξει τὴν ψυ

Heu me q̄a incolatus mei pro
longatus est. habitaui
cum habitantibus Cedar
multum incola fuit anima mei.
Cum odientibus pa
cem eram pacificus cum
loquebar eis impu
gnabant me gratis.

Canticum graduum .C.xx.

l euaui oculos
mei ī montes. unde ueniet
auxilium mei.
Auxilium mei a domino
qui fecit cælū
& terram.
Non des ī cōmotionem pedem
tui. neque dormiet custo
diens te.
Ecce non dormitabit neque dor
miet custodiens Israel.
Dominus custodiet te. dominus
protectio super manum dexteram
tui.
Die sol non comburet
te neque luna noctem.
Dominus custodiet te ab o
mni malo. custodiet ani

χιῶ σου ὁ κύριος.
Κύριος φυλάξει τὴν εἴσοδόν
σου καὶ τὴν ἔξοδόν σου ἀπὸ
τοῦ νῦν. καὶ ἕως τοῦ αἰῶνος.

ᾠδὴ τῶν ἀναβαθμῶν. ρκα.

ε ὐφράνθην ἐπὶ τοῖς εἰρη
κόσι μοι. εἰς οἶκον κυρίου
πορευσόμεθα
ἑστῶτες ἦσαν οἱ πόδες ἡμῶν
ἐν ταῖς αὐλαῖς σου ἱερουσαλήμ.
ἱερουσαλὴμ οἰκοδομουμένη
ὡς πόλις. ἧς ἡ μετοχὴ αὐ
τῆς ἐπὶ τὸ αὐτό
ἐκεῖ γὰρ ἀνέβησαν αἱ φυ
λαὶ. φυλαὶ κυρίου μαρτύρι
ον τῷ ἰσραήλ. τοῦ ἐξομολο
γήσασθαι τῷ ὀνόματι κυρίου.
ὅτι ἐκεῖ ἐκάθισαν θρόνοι εἰς
κρίσιν. θρόνοι ἐπὶ οἶκον δα
υίδ.
ἐρωτήσατε δὴ τὰ εἰς εἰρή
νην τὴν ἱερουσαλήμ. καὶ εὐ
θηνία τοῖς ἀγαπῶσισε.
Γενέσθω δὴ εἰρήνη ἐν τῇ δυ
νάμει σου. καὶ εὐθηνία ἐν ταῖς
πυργοβάρεσί σου.
ἕνεκα τῶν ἀδελφῶν μου

mam tui dominus.
Dominus custodiet introitum
tui & exitum tui ex
nunc. & usque sæculum

Canticum graduum. .C.xxi.

l ætatus sũ super eis q̃ di
xerũt mihi. in domũ dõi
ibimus.
Stantes erant pedes nostrum.
in atriis tui hierusalem.
Hierusalem quæ ædificatur
ut ciuitas. cuius participatio e
ius in idipsum.
Illuc enim ascenderũt tri
bus. tribus domini testimo
niũ israel confite
ri nomini domini.
Quia illic sederunt sedes in
iudiciũ. sedes super domum da
uid.
Rogate in pa
cem hierusalem. & abun
dantia diligentibus te.
Fiat pax in uir
tute tua. & abundãtia in
turribus tuis.
Propter fratres mei

καὶ τῶν πλησίον μου. ἐλά
λουν δὴ εἰρήνην περί σου.
ἕνεκα τοῦ οἴκου κυρίου τοῦ
θεοῦ ἡμῶν. ἐζήτησα ἀγαθά σοι·

& proximos mei. lo
quebar pacem de te.
Propter domum domini
dei nostrum quæsiui bona tibi.

ᾠδὴ τῶν ἀναβαθμῶν. ρκβ.

Canticū graduum. C.xxii.

Π ρὸς σὲ ἦρα τοὺς ὀφθαλ-
μούς μου. τὸν κατοικοῦν
τα ἐν τῷ οὐρανῷ.
Ἰδοὺ ὡς ὀφθαλμοὶ δούλων
εἰς χεῖρας τῶν κυρίων αὐτῶν.
ὡς ὀφθαλμοὶ παιδίσκης εἰς
χεῖρας τῆς κυρίας αὐτῆς.
οὕτως οἱ ὀφθαλμοὶ ἡμῶν
πρὸς κύριον τὸν θεὸν ἡμῶν
ἕως οὗ οἰκτειρῆσαι ἡμᾶς.
ἐλέησον ἡμᾶς κύριε. ἐλέησον
ἡμᾶς. ὅτι ἐπὶ πολὺ ἐπλήσθη
μεν ἐξουδενώσεως.
ἐπὶ πλεῖον ἐπλήσθη ἡ ψυχὴ
ἡμῶν. τὸ ὄνειδος τοῖς εὐθη
νοῦσι καὶ ἡ ἐξουδένωσις τοῖς
ὑπερηφάνοις.

a d te leuaui ocu
los mei. habi
tantem in cælo.
Ecce sicut oculi seruorum
in manus dominorū eorū.
Sicut oculi ancillæ in
manus dominæ eius.
Ita oculi nostrum
ad dominum deum nostrū
usq; quo misereatur nostrum
Miserere nostri domine miserere
nostri. quia multum repleti
sumus despectione.
Multum impleta est anima
nostri. opprobrium abun
dantibus. & despectio
superbis.

ᾠδὴ τῶν ἀναβαθμῶν. ρκγ.

Canticū graduum . C xxiii.

ε ἰ μὴ ὅτι κύριος ἦν ἐν ἡμῖν
εἰπάτω δὴ Ἰσραήλ. εἰ μὴ

n isi qa dominus erat ĩ nobis
dicat nunc israel. nisi

ὅτι κύριος ἦν ἐν ἡμῖν.
ἐν τῷ ἐπαναστῆναι ἀνθρώ
πους ἐφ' ἡμᾶς. ἄρα ζῶντας
ἂν κατέπιον ἡμᾶς.
ἐν τῷ ὀργισθῆναι τὸν θυμὸν
αὐτῶν ἐφ' ἡμᾶς. ἄρα τὸ ὕ
δωρ ἂν κατεπόντισεν ἡμᾶς.
Χείμαρρον διῆλθεν ἡ ψυχὴ
ἡμῶν. ἄρα διῆλθεν ἡ ψυχὴ
ἡμῶν τὸ ὕδωρ τὸ ἀνυπόστα
τον.
εὐλογητὸς κύριος. ὃς οὐκ ἔ
δωκεν ἡμᾶς εἰς θήραν τοῖς
ὀδοῦσιν αὐτῶν.
Ἡ ψυχὴ ἡμῶν ὡς στρουθίον ἐρ
ρύσθη ἐκ τῆς παγίδος τῶν
θηρευόντων.
Ἡ παγὶς συνετρίβη καὶ ἡμεῖς
ἐρρύσθημεν.
Ἡ βοήθεια ἡμῶν ἐν ὀνόματι κυ
ρίου. τοῦ ποιήσαντος τὸν οὐ
ρανὸν καὶ τὴν γῆν.

Δό. ᾠδὴ τῶν ἀναβαθμῶν. ρκδ.

ο ἱ πεποιθότες ἐπὶ κύριον
ὡς ὄρος σιών. οὐ σαλευ
θήσεται εἰς τὸν αἰῶνα ὁ κατοι
κῶν ἱερουσαλήμ.

quia dominus erat in nobis.
In insurgere ho
mines contra nos. forte uiuos
deglutissent nos.
In irasci furorem
eorum in nos. forsitan a
qua demersisset nos.
Torrentem pertransiuit anima
nostri. forsitan pertransisset aĩa
nostri aquam intolera
bilem.
Benedictus dominus qui non de
dit nos in prædam captionem
dentibus eorum.
Anima nostri sicut passer ere
pta est ex laqueo
uenantium.
Laqueus contritus est. & nos
Liberati sumus.
Adiutorium nostrum in noĩe do
mini. qui fecit cæ
lum & terram.

Gloria. Canticũ graduũ. C.xxiii.

c onfidentes in dominum
sicut mons sion. non com
mouebitur in æternum inhabi
tans Hierusalem.

ὄρη κύκλῳ αὐτῆς. καὶ ὁ κύριος
κύκλῳ τοῦ λαοῦ αὐτοῦ
ἀπὸ τοῦ νῦν καὶ ἕως τοῦ αἰῶνος
ὅτι οὐκ ἀφήσει κύριος τὴν
ῥάβδον τῶν ἁμαρτωλῶν ἐ
πὶ τὸν κλῆρον τῶν δικαίων
ὅπως ἂν μὴ ἐκτείνωσιν οἱ
δίκαιοι ἐν ἀνομίαις χεῖρας αὐτῶν
ἀγάθυνον κύριε τοῖς ἀγαθοῖς
καὶ τοῖς εὐθέσι τῇ καρδίᾳ.
τοὺς δὲ ἐκκλίνοντας εἰς τὰς
στραγγαλιὰς ἀπάξει κύριος
μετὰ τῶν ἐργαζομένων τὴν
ἀνομίαν. εἰρήνη ἐπὶ τὸν ἰσ-
ραήλ.

ᾠδὴ τῶν ἀναβαθμῶν. ρκε.

ἐ ν τῷ ἐπιστρέψαι
κύριον τὴν αἰχμαλωσίαν
σιών. ἐγενήθημεν ὡσεὶ παρακε
κλημένοι.
τότε ἐπλήσθη χαρᾶς τὸ στό
μα ἡμῶν. καὶ ἡ γλῶσσα ἡμῶν
ἀγαλλιάσεως.
τότε ἐροῦσιν ἐν τοῖς ἔθνεσιν.
ἐμεγάλυνε κύριος τοῦ ποιῆ
σαι μετ' αὐτῶν.
ἐμεγάλυνε κύριος τοῦ ποιῆ

Montes circa eam. & dominus
circa populum eius
ex nunc & uſque ſæculum.
Quia non dimittet dominus
uirgam peccatorum ſu
per ſortem iuſtorum
ut non extendant
iuſti in iniquitatibus manus eoꝝ.
Bene fac domine bonis
& rectis corde.
Sed declinantes in
obligationes abducet dominus
cum operantibus
iniquitatem. pax ſuper iſ
rael.

Canticum graduum. C.xxv.

I n conuertere
dominum captiuitatem
ſion facti ſumus ſicut
conſolati.
Tunc impletum eſt gaudii
os noſtrum. & lingua no
ſtrum exultationis.
Tunc dicent in gentibus.
magificauit dominus fa
cere cum eis.
Magnificauit dominus face

tii

σαι μεθ' ἡμῶν. ἐγενήθημεν εὐ
φραινόμενοι.
Ἐπίστρεψον κύριε τὴν αἰχμα
λωσίαν ἡμῶν. ὡς χειμάρρους
ἐν τῷ νότῳ.
Οἱ σπείροντες ἐν δάκρυσιν. ἐν
ἀγαλλιάσει θεριοῦσι.
Πορευόμενοι ἐπορεύοντο καὶ
ἔκλαιον βάλλοντες τὰ σπέρ
ματα αὐτῶν.
Ἐρχόμενοι δὲ ἥξουσιν ἐν ἀγαλ
λιάσει αἴροντες τὰ δράγμα
τα αὐτῶν.

ᾠδὴ τῶν ἀναβαθμῶν. ρκς.

ἐ ἀν μὴ κύριος οἰκοδομή
σῃ οἶκον. εἰς μάτην ἐκο
πίασαν οἱ οἰκοδομοῦντες.
Ἐὰν μὴ κύριος φυλάξῃ πόλιν.
εἰς μάτην ἠγρύπνησεν ὁ φυλάσ
σων.
Εἰς μάτην ὑμῖν ἐστὶ τὸ ὀρθρί
ζειν. ἐγείρεσθε μετὰ τὸ καθῆ
σθαι οἱ ἐσθίοντες ἄρτον ὀδύ
νης.
Ὅταν δῷ τοῖς ἀγαπητοῖς αὐ
τοῦ ὕπνον. ἰδοὺ ἡ κληρονομί
α κυρίου οἱ υἱοί. ὁ μισθὸς τοῦ

ſe cum nobis. facti ſumus læ
tantes.
Conuertere domine captiui
tatem noſtrum. ſicut torrentes
in auſtro.
Sæminantes in lacrimis. in
exultatione metent.
Euntes ibant &
flebant. iacientes ſæ
mina eorum.
Venientes autem. uenient ĩ exul
tatione tollentes manipu
los eorum.

Canticũ graduum. C.xxvii.

ſ i non dominus ædifica
uerit domum. ĩ uanũ labo
rauerunt ædificantes.
Si nõ dominus cuſtodierit ciuitatẽ
in uanũ uigilauit cuſto
diens.
In uanũ uobis eſt diluculo
ſurgere: ſurgite poſt ſe
dere manducantes panem do
loris.
Cum dederit dilectis e
ius ſomnum. ecce hære
ditas domini filii. merces

καρποῦ τῆς γαστρός.
ὡσεὶ βέλη ἐν χειρὶ δυνατοῦ. οὕ
τως οἱ υἱοὶ τῶν ἐκτετιναγμένων.
Μακάριος ὃς πληρώσει τὴν ἐ
πιθυμίαν αὐτοῦ ἐξ αὐτῶν. οὐ
καταισχυνθήσονται ὅταν λα
λῶσι τοῖς ἐχθροῖς αὐτῶν ἐν
πύλαις.

ᾠδὴ τῶν ἀναβαθμῶν. ρκζ.

μ ακάριοι πάντες οἱ φο
βούμενοι τὸν κύριον. οἱ
πορευόμενοι ἐν ταῖς ὁδοῖς αὐ-
τοῦ.
Τοὺς πόνους τῶν καρπῶν σου
ὅτι φάγεσαι. μακάριος εἶ καὶ
καλῶς σοι ἔσται.
Ἡ γυνή σου ὡς ἄμπελος εὐθηνοῦ
σα. ἐν ταῖς κλίτεσι τῆς οἰκίας σου
Οἱ υἱοί σου ὡς νεόφυτα ἐλαιῶν.
κύκλῳ τῆς τραπέζης σου.
Ἰδοὺ οὕτως εὐλογηθήσεται
ἄνθρωπος ὁ φοβούμενος τὸν κύ
ριον.
Εὐλογήσαι σε κύριος ἐκ σιών.
καὶ ἴδοις τὰ ἀγαθὰ ἱερουσα
λήμ. πάσας τὰς ἡμέρας
τῆς ζωῆς σου.

fructus uentris.
Sicut sagittæ in manu potentis. i
ta filii excussorum. Iuuentutis.
Beatus qui implebit desi
deriũ eius ex ipsis. non
confundentur cum loquen
tur inimicis eorum in
portis.

Canticum graduum. C.xxvii.

b eati omnes ti
mẽtes dominum.
ambulates in uiis e
ius.
Labores fructuum tui
quia manducabis. beatus es &
bene tibi erit.
Vxor tui sicut uitis abun
dans in lateribus domus tui.
Filii tui sicut nouellæ plãtæ oliua
rum circuitu mensæ tui.
Ecce sic benedicetur
homo timẽs do
minum:
Benedicat te dominus ex sion
& uideas bona hierusa
lem omnes dies
uitæ tui.

Καὶ ἴδοις υἱοὺσ τῶν υἱῶν σου
εἰρήνη ἐπὶ τὸν ἰσραήλ.

ᾠδὴ τῶν ἀναβαθμῶν. ρκη.

π λεονάκις ἐπολέμησάν
με ἐκ νεότητός μου. εἰπά
τω δὴ ἰσραήλ.
Πλεονάκις ἐπολέμησάν με
ἐκ νεότητός μου. καὶ γὰρ οὐκ
ἠδυνήθησάν μοι.
Ἐπὶ τὸν νῶτον μου ἐτέκται
νον οἱ ἁμαρτωλοὶ. ἐμάκρυ
ναν τὴν ἀνομίαν αὐτῶν.
Κύριος δίκαιος συνέκοψεν αὐ
χένας ἁμαρτωλῶν. αἰσχυν
θήτωσαν καὶ ἀποστραφήτω
σαν εἰς τὰ ὀπίσω πάντεσ οἱ
μισοῦντες σιών.
Γενηθήτωσαν ὡσεὶ χόρτος
δωμάτων. ὃς πρὸ τοῦ ἐκ
σπασθῆναι ἐξηράνθη.
Οὗ οὐκ ἐπλήρωσε τὴν χεῖρα
αὐτοῦ ὁ θερίζων. καὶ τὸν κόλ
πον αὐτοῦ ὁ τὰ δράγμα
τα συλλέγων.
Καὶ οὐκ εἶπαν οἱ παράγοντες
εὐλογία κυρίου ἐφ᾽ ὑμᾶς.
εὐλογήκαμεν ὑμᾶς ἐν ὀ

Et uideas filios filiorum tui.
pax ſuper iſrael.

Canticũ graduum. C.xxviii.

ſ æpe oppugnauerunt
me ex iuuentute mei. di
cat nunc iſrael.
Sæpe oppugnauerũt me
ex iuuentute mei. & enim non
potuerunt mihi.
Supra dorſum meũ fabri
cabant peccatores. prolonga
uerunt iniquitatem eorum.
Dominus iuſtus concidit cer
uices peccatorum. confun
dantur & conuertan
tur in retro omnes
odientes ſion.
Fiant ſicut foenum
tectorum. quod ante e
uelli exaruit.
Cuius non impleuit manum
eius metens. & ſi
num eius manipulos
colligens.
Et non dixerunt prætereuntes
benedictio domini ſuper uos.
benediximus uos in no

μ ὀματι κυρίου.

Δό. ᾠδὴ τῶν ἀναβαθμῶν. ρκθ.

ἐ κ βαθέων ἐκέκραξα σοι
κύριε. κύριε εἰσάκουσον
τῆς φωνῆς μου.
Γενηθήτω τὰ ὦτα σου προσέ-
χοντα. εἰς τὴν φωνὴν τῆς
δεήσεώς μου.
ἐὰν ἀνομίας παρατηρήσῃς
κύριε. κύριε τίς ὑποστήσεται;
Ὅτι παρὰ σοι ὁ ἱλασμός ἐστιν.
ἕνεκεν τοῦ ὀνόματός σου ὑπέμει-
νά σε κύριε.
Ὑπέμεινεν ἡ ψυχή μου εἰς
τὸν λόγον σου. ἤλπισεν ἡ ψυ-
χή μου ἐπὶ τὸν κύριον.
Ἀπὸ φυλακῆς πρωΐας μέχρι
νυκτός. ἀπὸ φυλακῆς πρωΐ-
ας. ἐλπισάτω ἰσραὴλ ἐπὶ τὸν
κύριον.
Ὅτι παρὰ τῷ κυρίῳ ἔλεος.
καὶ πολλὴ παρ᾽ αὐτῷ λύτρωσις.
Καὶ αὐτὸς λυτρώσεται τὸν
ἰσραὴλ. ἐκ πασῶν τῶν ἀνομι-
ῶν αὐτοῦ.

ᾠδὴ τῶν ἀναβαθμῶν. ρλ.

mine domini.

Gloria. Cāticū graduū. Cxxviiii.

d e profundis clamaui tibi
domine .domine exaudi
uocem mei.
Fiant aures tui atten
dentes . in uocem
deprecationis mei .
Si iniquitates obſeruaueris
domine . domine quis ſuſtinebit ?
Quia apud te propitiatio eſt.
propter nomen tui ſuſti
nui te domine.
Suſtinuit anima mei in
uerbum eius . ſperauit ani
ma mei in dominum .
A cuſtodia matutina uſque
noctem . a cuſtodia matu
tina ſperet iſrael in
dominum .
Quia apud dominum miſericordia
& multa apud eum redemptio .
Et ipſe redimet
iſrael ex omnibus iniquita
tibus eius .

Canticum graduum. C.xxx.

κ ύριε οὐχ ὑψώθη ἡ καρδί-
α μου. οὐδὲ ἐμετεωρί-
σθησαν οἱ ὀφθαλμοί μου.
Οὐδὲ ἐπορεύθην ἐν μεγάλοις.
οὐδὲ ἐν θαυμασίοις ὑπὲρ ἐμέ.
Εἰ μὴ ἐταπεινοφρόνουν. ἀλ-
λὰ ὕψωσα τὴν ψυχήν μου.
Ὡς τὸ ἀπογεγαλακτισμένον
ἐπὶ τὴν μητέρα αὐτοῦ. ὡς
ἀνταποδώσεις ἐπὶ τὴν ψυ-
χήν μου.
Ἐλπισάτω ἰσραὴλ ἐπὶ τὸν κύ-
ριον. ἀπὸ τοῦ νῦν καὶ ἕως
τοῦ αἰῶνος.

d omine non est exaltatum
cor mei. neque elati
sunt oculi mei.
Neque ambulaui in magnis
neque in mirabilibus super me
Si non humiliter sentiebam .
sed exaltaui animam mei.
Sicut ablactatus
super matrem sui. sic
retribues in ani
mam mei.
Speret israel in do
minum. ex nunc & usque
sæculum .

## ᾨδὴ τῶν ἀναβαθμῶν. ρλα.

## Canticum graduum. C xxxi.

μ νήσθητι κύριε τοῦ δα-
υὶδ καὶ πάσης τῆς πραό-
τητος αὐτοῦ.
Ὡς ὤμοσε τῷ κυρίῳ. ηὔξατο
τῷ θεῷ ἰακώβ.
Εἰ εἰσελεύσομαι εἰς σκήνω-
μα οἴκου μου. εἰ ἀναβήσο-
μαι ἐπὶ κλίνης στρωμνῆς μου.
Εἰ δώσω ὕπνον τοῖς ὀφθαλ-
μοῖς μου. καὶ τοῖς βλεφάροις
μου νυσταγμόν.
Καὶ ἀνάπαυσιν τοῖς κροτά-

m emento domine Dauid.
& omnis mansue
tudinis eius .
Sicut iurauit domino. uo
uit deo iacob.
Si introibo in taberna
culum domus mei. si ascen
dam in lectum strati mei.
Si dedero somnum ocu
lis mei. & palpebris
mei dormitationem.
Et requiem tempori

φοις μου. ἕως οὗ εὕρω τό
πον τῷ κυρίῳ σκήνωμα
τῷ θεῷ ἰακώβ.
Ἰδοὺ ἠκούσαμεν αὐτὴν ἐν ἐ
φραθᾷ. εὕρομεν αὐτὴν ἐν τοῖς
πεδίοις τοῦ δρυμοῦ.
Εἰσελευσόμεθα εἰς τὰ σκηνώμα
τα αὐτοῦ. προσκυνήσομεν εἰς
τὸν τόπον οὗ ἔστησαν οἱ πό
δες αὐτοῦ.
Ἀνάστηθι κύριε εἰς τὴν ἀνάπαυ
σίν σου σὺ καὶ ἡ κιβωτὸς τοῦ ἁγι
άσματός σου.
Οἱ ἱερεῖς σου ἐνδύσονται δικαι
οσύνην. καὶ οἱ ὅσιοί σου ἀγαλλιά
σονται.
Ἕνεκεν δαυὶδ τοῦ δούλου σου
μὴ ἀποστρέψῃς τὸ πρόσωπον
τοῦ χριστοῦ σου.
Ὤμοσε κύριος τῷ δαυὶδ ἀ
λήθειαν. καὶ οὐ μὴ ἀθετήσει αὐ
τόν. ἐκ καρποῦ τῆς κοιλίας
σου θήσομαι ἐπὶ τοῦ θρόνου
σου.
Ἐὰν φυλάξωνται οἱ υἱοί σου
τὴν διαθήκην μου. καὶ τὰ
μαρτύριά μου ταῦτα ἃ δι
δάξω αὐτούς.
Καὶ οἱ υἱοὶ αὐτῶν ἕως τοῦ αἰῶ

bus mei. donec inueniam lo
cum domino tabernaculum
deo iacob.
Ecce audiuimus eam in e
phratha. inuenimus eam in
campis siluæ.
Introibimus in taber
nacula eius: adorabimus in
locum ubi steterunt pe
des eius.
Exurge domine in re
quiem tui: tu & arca san
ctificationis tui.
Sacerdotes tui induent iusti
ciam. & sancti tui exul
tabunt.
Propter dauid seruum tui.
non auertas faciem
christi tui.
Iurauit dominus Dauid ueri
tatem & non frustrabitur e
um. ex fructu uentris
tui ponam super sedem
tui.
Si custodierint filii tui
testamentum mei. &
testimonia mei hæc quæ do
cebo eos.
Et filii eorum usq; sæcu.

predam θήραν.
viduam χήραν.

μος καθιοῦνται ἐπὶ τοῦ θρό
νου σου.
Ὅτι ἐξελέξατο κύριος τὴν σι
ὼν. ἡρετίσατο αὐτὴν εἰς κατοι
κίαν ἑαυτῷ.
Αὕτη ἡ κατάπαυσίς μου εἰς
αἰῶνα αἰῶνος. ὧδε κατοική
σω ὅτι ἡρετισάμην αὐτήν.
(ἐκ πηγῆς) Τὴν      αὐτῆς εὐλογῶν εὐ
λογήσω. τοὺς πτωχοὺς αὐτῆς
χορτάσω ἄρτων.
Τοὺς ἱερεῖς αὐτῆς ἐνδύσω σω
τηρίαν. καὶ οἱ ὅσιοι αὐτῆς ἀ
γαλλιάσει ἀγαλλιάσονται.
Ἐκεῖ ἐξανατελῶ κέρας τῷ Δα
υίδ. ἡτοίμασα λύχνον τῷ χρι
στῷ μου.
Τοὺς ἐχθροὺς αὐτοῦ ἐνδύσω αἰ
σχύνην. ἐπὶ δὲ αὐτὸν ἐξανθή
σει τὸ ἁγίασμά μου.

ᾠδὴ τῶν ἀναβαθμῶν. ρλβ.

ἰ      δοὺ δὴ τί καλὸν ἢ τί
τερπνόν. ἀλλ' ἢ τὸ κα
τοικεῖν ἀδελφοὺς ἐπὶ τὸ αὐτό.
Ὡς μύρον ἐπὶ κεφαλῆς τὸ κα
ταβαῖνον ἐπὶ πώγωνα τὸν πώ
γωνα τὸν ἀαρών.

lum sedebunt super se
dem tui.
Quoniam elegit dominus si
on. elegit eam in habitatio
nem sibi.
Hæc requies mei in
sæculum sæculi. hic habi
tabo quoniam elegi eam.
     eius benedicens bene
dicam. pauperes
saturabo panibus.
Sacerdotes eius induam salu
tem. & sancti eius exulta
tione exultabunt.
Illic producam cornu Da
uid. paraui lucernam Chri
sto mei.
Inimicos eius induam confu
sione. super aūt ipsum efflore
bit sanctificatio mei.

Canticum graduum. C.xxxii.

e      cce quid bonum aut quid
iucundum. sed habi
tare fratres in unum.
Sicut unguentum in capite de
scendentes in barbam bar
bam aaron.

τὸ καταβαῖνον ἐπὶ τὴν ὤαν τοῦ
ἐνδύματος αὐτοῦ. ὡς δρόσος
ἀερμὼν ἡ καταβαίνουσα ἐπὶ
τὰ ὄρη σιὼν.
ὅτι ἐκεῖ ἐνετείλατο κύριος εὐ
λογίαν καὶ ζωὴν ἕως τοῦ αἰῶνος

ᾠδὴ τῶν ἀναβαθμῶν. ρλγ.

ἰ δοὺ δὴ εὐλογεῖτε τὸν κύ
ριον πάντες οἱ δοῦλοι
κυρίου.
Οἱ ἑστῶτες ἐν οἴκῳ κυρίου. ἐν αὐ
λαῖς οἴκου θεοῦ ἡμῶν.
ἐν ταῖς νυξὶν ἐπάρατε τὰς
χεῖρας ὑμῶν εἰς τὰ ἅγια.
καὶ εὐλογεῖτε τὸν κύριον.
εὐλογήσαι σε κύριος ἐκ σιὼν. ὁ
ποιήσας τὸν οὐρανὸν καὶ τὴν
γῆν.

καθ. ιη. ἀλληλούια. ρλδ.

α ινεῖτε τὸ ὄνομα κυρίου
αἰνεῖτε δοῦλοι κύριον
Οἱ ἑστῶτες ἐν οἴκῳ κυρίου. ἐν
αὐλαῖς οἴκου θεοῦ ἡμῶν.
Αἰνεῖτε τὸν κύριον ὅτι ἀγαθὸς
κύριος. ψάλατε τῷ ὀνόματι

Descendens in oram
uestimenti eius. sicut ros
Aermon descendens in
montes sion.
Quoniã illic mãdauit dñus bene
dictionẽ & uitam usque sæculum.

Canticum graduum. C.xxxiii.

e cce benedicite do
minum omnes serui
domini.
Stantes in domo domini in a
triis domus dei nostrum.
In noctibus extollite
manus uestrum in sancta.
& benedicite dominum.
Benedicat te dominus ex sion.
qui fecit cælum &
terram.

Sessio.xviii. Alleluia. C.xxxiiii.

I audate nomen domini.
laudate serui dominum.
Stantes in domo domini. in
atriis domus dei nostrum.
Laudate dominum quoniã bonus
dominus. psalite nomini

αὐτοῦ ὅτι καλόν.
Ὅτι τὸν ἰακὼβ ἐξελέξατο ἑαυ
τῷ ὁ κύριος. ἰσραὴλ εἰς
περιουσιασμὸν ἑαυτῷ.
Ὅτι ἐγὼ ἔγνωκα ὅτι μέγας ὁ
κύριος. καὶ ὁ κύριος ἡμῶν πα
ρὰ πάντας τοὺς θεούς.
Πάντα ὅσα ἠθέλησεν ὁ κύριος
ἐποίησεν ἐν τῷ οὐρανῷ καὶ ἐν
γῇ ἐν ταῖς θαλάσσαις καὶ
ἐν πάσαις ταῖς ἀβύσσοις.
Ἀνάγων νεφέλας ἐξ ἐσχάτου
τῆς γῆς. ἀστραπὰς εἰς ὑετὸν
ἐποίησεν.
Ὁ ἐξάγων ἀνέμους ἐκ θησαυρῶν
αὐτοῦ. ὃς ἐπάταξε τὰ πρω
τότοκα αἰγύπτου ἀπὸ ἀνθρώ
που ἕως κτήνους.
Ἐξαπέστειλε σημεῖα καὶ τέρα
τα, ἐν μέσῳ σου αἴγυπτε. ἐν
φαραὼ καὶ ἐν πᾶσι τοῖς
δούλοις αὐτοῦ.
Καὶ ἐπάταξε ἔθνη πολλά. καὶ
ἀπέκτεινε βασιλεῖς κραταιούς.
Τὸν σηὼν βασιλέα τῶν ἀμορ
ραίων.
Καὶ τὸν ὢγ βασιλέα τῆς βα
σάν. καὶ πάσας τὰς βασι
λείας χαναάν.

eius quoniam bonum.
Quoniam iacob elegit si
bi dominus. israel in
possessionem sibi.
Quoniã ego cognoui q̃a magnus
dominus. & dominus nostrum
præ omnibus diis.
Omnia quecũque uoluit dominus
fecit in cælo & in
terra in maribus &
in omnibus abissis.
Educens nubes ex extremo
terræ. fulgura in pluuiam
fecit.
Educens uentos ex thesauris
eius. qui percussit primoge
nita ægypti ab ho
mine usque pecus.
Emisit signa & pro
digia in medio tui ægypte in
pharaonem & in omnibus
seruis eius.
Et percussit gentes multas. &
occidit reges fortes
Seon regem amor
ræorum
Et og regem ba
san. & omnia re
gna chanaan.

Καὶ ἔδωκε τὴν γῆν αὐτῶν
κληρονομίαν. κληρονομίαν
ἰσραὴλ λαῷ αὐτοῦ.
Κύριε τὸ ὄνομά σου εἰς τὸν
αἰῶνα. καὶ τὸ μνημόσυνόν
σου εἰς γενεὰν καὶ γενεάν.
Ὅτι κρινεῖ κύριος τὸν λαὸν
αὐτοῦ. καὶ ἐπὶ τοῖς δούλοις
αὐτοῦ παρακληθήσεται.
Τὰ εἴδωλα τῶν ἐθνῶν ἀργύρι
ον καὶ χρυσίον. ἔργα χειρῶν
ἀνθρώπων.
Στόμα ἔχουσι. καὶ οὐ λαλήσου
σιν. ὀφθαλμοὺς ἔχουσι καὶ
οὐκ ὄψονται.
Ὦτα ἔχουσι καὶ οὐκ ἐνωτισθή
σονται. οὐδὲ γάρ ἐστι πνεῦ
μα ἐν τῷ στόματι αὐτῶν.
Ὅμοιοι αὐτοῖς γένοιντο οἱ ποι
οῦντες αὐτά. καὶ πάντες
οἱ πεποιθότες ἐπ᾽ αὐτοῖς.
Οἶκος ἰσραὴλ εὐλογήσατε τὸν
κύριον. οἶκος ἀαρὼν εὐλογή
σατε τὸν κύριον.
Οἶκος λευὶ εὐλογήσατε τὸν
κύριον. οἱ φοβούμενοι τὸν κύ
ριον εὐλογήσατε τὸν κύριον.
Εὐλογητὸς κύριος ἐκ σιών. ὁ
κατοικῶν ἱερουσαλήμ.

Et dedit terram eorum
hæreditatem. hæreditatem
Israel populo eius.
Domine nomen tui in
æternum. memoriale
tui in generationē & generationē.
Quoniã iudicabit dominus populũ
eius. & in seruis
eius deprecabitur.
Simulacra gentium argen
tum & aurum. opera manuum
hominum.
Os habent & non loquen
tur. oculos habent &
non uidebunt.
Aures habent et non audi
ent. neque enim est spiri
tus in ore eorum.
Similes eis fiant facien
tes ea. & omnes
confisi in eis.
Domus israel benedicite
dominum. domus Aarõ benedici
te dominum.
Domus leui benedicite
dominum. timentes do
minum benedicite dominum.
Benedictus dominus ex Sion.
habitans hierusalem.

ε ξομολογεῖσθε τῷ κυρίῳ
ὅτι ἀγαθός. ὅτι εἰς τὸν
αἰῶνα τὸ ἔλεος αὐτοῦ.
ἐξομολογεῖσθε τῷ θεῷ τῶν
θεῶν. ὅτι εἰς τὸν αἰῶνα τὸ
ἔλεος αὐτοῦ.
ἐξομολογεῖσθε τῷ κυρίῳ τῶν
κυρίων. ὅτι εἰς τὸν αἰῶνα τὸ
ἔλεος αὐτοῦ.
Τῷ ποιήσαντι θαυμάσια μεγά
λα μόνῳ. ὅτι εἰς τὸν αἰῶνα τὸ
ἔλεος αὐτοῦ.
Τῷ ποιήσαντι τοὺς οὐρανοὺς
ἐν συνέσει. ὅτι εἰς τὸν αἰῶνα
τὸ ἔλεος αὐτοῦ.
Τῷ στερεώσαντι τὴν γῆν ἐπὶ
τῶν ὑδάτων. ὅτι εἰς τὸν αἰῶνα
τὸ ἔλεος αὐτοῦ.
Τῷ ποιήσαντι φῶτα μεγάλα
μόνῳ. ὅτι εἰς τὸν αἰῶνα τὸ
ἔλεος αὐτοῦ.
Τὸν ἥλιον εἰς ἐξουσίαν τῆς ἡ
μέρας. ὅτι εἰς τὸν αἰῶνα τὸ
ἔλεος αὐτοῦ.
Τὴν σελήνην καὶ τοὺς ἀστέ
ρας εἰς ἐξουσίαν τῆς νυκ-
τός. ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλε-



c onfitemini domino
quoniam bonus. quoniā ī
ſæculum miſericordia eius.
Confitemini deo
deorum. quoniam in ſæculum
miſericordia eius.
Confitemini domino
dominorum. quoniam in ſaeculū
miſericordia eius.
Qui fecit mirabilia ma
gna ſolus. quoniam in ſæculum
miſericordia eius.
Qui fecit cælos
in intellectu. quoniam in ſæculum
miſericordia eius.
Qui firmauit terram ſuper
aquas. quoniam in ſæculum
miſericordia eius.
Qui fecit luminaria magna
ſolus. quoniam in ſæculum
miſericordia eius.
Solem in poteſtatem di
ei. quoniam in ſæculum
miſericordia eius.
Lunam & ſtel
las in poteſtatem no
ctis. quoniam in ſæculum mi

ος αὐτοῦ.
τῷ πατάξαντι αἴγυπτον σὺν
τοῖς πρωτοτόκοις αὐτῶν.
ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος
αὐτοῦ.
τῷ ἐξαγαγόντι τὸν ἰσραὴλ ἐκ
μέσου αὐτῶν. ὅτι εἰς τὸν αἰῶ
να τὸ ἔλεος αὐτοῦ.
ἐν χειρὶ κραταιᾷ καὶ ἐν βρα
χίονι ὑψηλῷ. ὅτι εἰς τὸν αἰῶ
να τὸ ἔλεος αὐτοῦ.
τῷ καταδιελόντι τὴν ἐρυθρὰν
θάλασσαν εἰς διαιρέσεις. ὅ
τι εἰς τὸν αἰῶνα τὸ ἔλεος
αὐτοῦ.
τῷ διαγαγόντι τὸν ἰσραὴλ
διὰ μέσου αὐτῆς. ὅτι εἰς τὸν
αἰῶνα τὸ ἔλεος αὐτοῦ.
Καὶ ἐκτινάξαντι φαραὼ καὶ
τὴν δύναμιν αὐτοῦ εἰς θά
λασσαν ἐρυθράν. ὅτι εἰς τὸν
αἰῶνα τὸ ἔλεος αὐτοῦ.
τῷ διαγαγόντι τὸν λαὸν αὐτοῦ
ἐν τῇ ἐρήμῳ. ὅτι εἰς τὸν αἰῶ
να τὸ ἔλεος αὐτοῦ.
τῷ πατάξαντι βασιλεῖς με
γάλους. ὅτι εἰς τὸν αἰῶνα τὸ
ἔλεος αὐτοῦ.
Καὶ ἀποκτείναντι βασιλεῖς

ſericordia eius.
Percutienti aegyptum cum
primogenitis eorum.
quoniam in ſaeculum miſericor
dia eius.
Educenti iſrael ex
medio eorum. quoniam in ſae
culum miſericordia eius.
In manu forti & bra
chio excelſo. quoniam in ſae
culum miſericordia eius.
Diuidenti rubrum
mare in diuiſiones. quo
niam in ſaeculum miſericordia
eius.
Perducenti iſrael
per medium eius. quoniam in
ſæculum miſericordia eius.
Et excutienti pharaonem et
uirtutem eius in ma
re rubrum. quoniam in
ſæculum miſericordia eius.
Educenti populum eius
in deſerto quoniam in ſæ
culum miſericordia eius.
Percutienti reges ma
gnos. quoniam in ſaeculum
miſericordia eius.
Et occidenti reges

| | |
|---|---|
| κραταιοὺς. ὅτι εἰς τὸν αἰῶνα | fortes. quoniam in saeculum |
| τὸ ἔλεος αὐτοῦ. | misericordia eius. |
| Τὸν σηὼν βασιλέα τῶν ἀμορ | Seon regem Amor |
| ραίων. ὅτι εἰς τὸν αἰῶνα τὸ ἔ | ræorum quoniam in saeculum mise |
| λεος αὐτοῦ. | ricordia eius. |
| Καὶ τὸν ὢγ βασιλέα τῆς βα | Et Og regem ba |
| σάν. ὅτι εἰς τὸν αἰῶνα τὸ | san. quoniam in sæcum mi |
| ἔλεος αὐτοῦ. | sericordia eius. |
| Καὶ δόντι τὴν γῆν αὐτῶν | Et danti terram eorum |
| κληρονομίαν. ὅτι εἰς τὸν αἰῶ | haereditatem. quoniam in sae |
| να τὸ ἔλεος αὐτοῦ. | culum misericordia eius. |
| Κληρονομίαν ἰσραὴλ δούλῳ | Haereditatem israel seruo |
| αὐτοῦ. ὅτι εἰς τὸν αἰῶνα τὸ | eius quoniam in saeculũ |
| ἔλεος αὐτοῦ. | misericordia eius. |
| Ὅτι ἐν τῇ ταπεινώσει ἡμῶν ἐ | Quoniam in humilitate nostrũ me |
| μνήσθη ἡμῶν ὁ κύριος. ὅτι | mor fuit nostrũ dominus. quoniã |
| εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ. | in sæculum misericordia eius. |
| Καὶ ἐλυτρώσατο ἡμᾶς ἐκ | Et redemit nos ex |
| τῶν ἐχθρῶν ἡμῶν. ὅτι εἰς | inimicis nostrum. quoniam in |
| τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ. | sæculum misericordia eius. |
| Ὁ διδοὺς τροφὴν πάσῃ σαρ | Dans escam omni car |
| κί. ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλε | ni. quoniam in sæculum miseri |
| ος αὐτοῦ. | cordia eius. |
| Ἐξομολογεῖσθε τῷ θεῷ τοῦ | Confitemini deo |
| οὐρανοῦ. ὅτι εἰς τὸν αἰῶνα τὸ | cæli. quoniam in sæculum |
| ἔλεος αὐτοῦ. | misericordia eius. |

| | |
|---|---|
| Ψαλμὸς τῷ δαυὶδ ἱερεμίου | Psalmus dauid Hieremiæ. |
| . ρλϛ. | C.xxxvi. |

ἐ πὶ τῶν ποταμῶν Βαβυ-
λῶνος ἐκεῖ ἐκαθίσαμεν
καὶ ἐκλαύσαμεν ἐν τῷ μνησθῆ
ναι ἡμᾶς τῆς σιὼν.
ἐπὶ ταῖς ἰτέαις ἐν μέσῳ αὐτῆς
ἐκρεμάσαμεν τὰ ὄργανα ἡ
μῶν.
ὅτι ἐκεῖ ἐπηρώτησαν ἡμᾶς
οἱ αἰχμαλωτεύσαντες ἡ
μᾶς. λόγους ᾠδῶν.
Καὶ οἱ ἀπαγαγόντες ἡμᾶς ὕ
μνον. ᾄσατε ἡμῖν ἐκ τῶν ᾠ
δῶν σιών.
Πῶς ᾄσομεν τὴν ᾠδὴν κυρί
ου ἐπὶ γῆς ἀλλοτρίας.
ἐὰν ἐπιλάθωμαί σου ἱερουσα
λὴμ ἐπιλησθείη ἡ δεξιά μου.
Κολληθείη ἡ γλῶσσά μου τῷ
λάρυγγί μου. ἐὰν μή σου μνη
σθῶ.
ἐὰν μὴ προαναταξωμαι τὴν
ἱερουσαλὴμ ἐν ἀρχῇ τῆς εὐ
φροσύνης μου.
Μνήσθητι κύριε τῶν υἱῶν ἐ
δὼμ τὴν ἡμέραν ἱερουσα
λήμ.
Τῶν ἐρούντων ἐκκενοῦτε ἐκ
κενοῦτε ἕως τῶν θεμελίων
αὐτῆς.

s uper flumina Babylo
nis illic sedimus
& fleuimus. in recorda
ri nos Sion.
In salicibus in medio eius
suspendimus organa no
stri.
Quoniã illic interrogauerũt nos
captiuantes
nos. uerba cantionum.
Et abducentes nos hy
mnum cantate nobis ex can
ticis Sion.
Quomodo cãtabimus cãticũ domi
ni in terra aliena.
Si oblitus fuero tui hierusa
lem obliuioni detur dextera mei.
Adhæreat lingua mei
fauci mei. si non tui me
minero.
Si non proposuero
hierusalem in principio læ
ticiæ mei.
Memento domine filiorum e
dom die hierusa
lem.
Dicentium exinanite exinani
te usque fundamenta
eius.

θυγάτηρ βαβυλῶνος ἡ τα
λαίπωρος, μακάριος ὃς ἀν
ταποδώσει σοι τὸ ἀνταπό
δομά σου ὃ ἀνταπέδωκας
ἡμῖν.
Μακάριος ὃς κρατήσει καὶ ἐ
δαφιεῖ τὰ νήπιά σου πρὸς τὴν
πέτραν.

Δό. ψαλμὸς τῷ δαυὶδ ἀγγαίου
καὶ ζαχαρίου. ρλζ.

ἐ ξομολογήσομαί σοι κύριε
ἐν ὅλῃ καρδίᾳ μου. καὶ
ἐναντίον ἀγγέλων ψαλῶ σοι.
ὅτι ἤκουσας πάντα τὰ ῥήμα
τα τοῦ στόματός μου. προσκυ
νήσω πρὸς ναὸν ἅγιόν σου.
καὶ ἐξομολογήσομαι τῷ ὀνό
ματί σου.
ἐπὶ τῷ ἐλέει σου καὶ τῇ ἀλη
θείᾳ σου. ὅτι ἐμεγάλυνας ἐπὶ
πᾶν, τὸ ὄνομα τὸ ἅγιόν σου
ἐν ᾗ ἂν ἡμέρᾳ ἐπικαλέσω
μαί σε. ταχὺ ἐπάκουσόν μου.
πολυωρήσεις με ἐν ψυχῇ μου
δυνάμει σου.
ἐξομολογησάσθωσάν σοι κύρι
ε πάντες οἱ βασιλεῖς τῆς

Filia babylonis miſe
ra. beatus qui re
tribuet tibi retribu
tionem tui quam retribuiſti
nobis.
Beatus qui tenebit & al
lidet paruulos tui ad
petram.

Gloria pſalmus Dauid Aggæi
& Zachariæ. C.xxxvii.

c onfitebor tibi domine
in toto corde mei. &
coram angelis pſallam tibi
Quoniam audiuiſti omnia uer
ba oris mei. ado
rabo ad templum ſanctum tui
& confitebor nomi
ni tui.
Super miſericordia tui & uerita
te tui. quoniã magnificaſti ſuper
omne: nomen ſanctum tui.
In quacunque die inuocaue
ro te. uelociter exaudi me
multiplicabis me in anima mea
uirtute tui.
Confiteantur tibi do
mine omnes reges

γῆς. ὅτι ἤκουσαν πάντα τὰ
ῥήματα τοῦ στόματός σου.
Καὶ ᾀσάτωσαν ἐν ταῖς ᾠδαῖς
κυρίου. ὅτι μεγάλη ἡ δόξα
κυρίου.
Ὅτι ὑψηλὸς κύριος καὶ τὰ τα
πεινὰ ἐφορᾷ. καὶ τὰ ὑψη
λὰ ἀπὸ μακρόθεν γινώσκει
ἐὰν πορευθῶ ἐν μέσῳ θλίψε
ως ζήσεις με. ἐπ' ὀργὴν ἐχθρῶν
μου ἐξέτεινας χεῖρά σου.
καὶ ἔσωσέ με ἡ δεξιά σου.
Κύριος ἀνταποδώσει ὑπὲρ
ἐμοῦ. κύριε τὸ ἔλεός σου εἰς
τὸν αἰῶνα. τὰ ἔργα τῶν χει
ρῶν σου μὴ παρίδῃς.

terre. quia audierunt omnia
uerba oris tui.
Et cantent in canticis
domini. quia magna gloria
domini.
Quoniam excelsus dominus & hu
milia respicit. & al
ta a longe cognoscit.
Si ambulauero in medio tribu
lationis uiuificabis me. sup irã ini
micorum mei extendisti manũ tui
& saluauit me dextera tui.
Dominus retribuet pro
me. domine misericordia tui in
sæculum. opera ma
nuum tui ne despicias.

εἰς τὸ τέλος τῷ Δαυὶδ
ψαλμὸς Ζαχαρίου ἐν τῇ δι
ασπορᾷ. ρλη.

In finem Dauid.
psalmus Zachariæ in disper
sione. C xxxviii.

Κ ύριε ἐδοκίμασάς με
καὶ ἔγνως με. σὺ ἔ
γνως τὴν καθέδραν μου καὶ τὴν
ἔγερσίν μου.
Σὺ συνῆκας τοὺς διαλογι
σμούς μου ἀπὸ μακρόθεν.
τὴν τρίβον μου. καὶ τὴν σχοῖ
νόν μου σὺ ἐξιχνίασας.

d omine probasti me
& cognouisti me. tu cogno
uisti sessionem mei & resurre
ctionem mei.
Tu intellexisti cogita
tiones mei de longe.
semitam mei & funicu
lum mei inuestigasti.

Καὶ πάσας τὰς ὁδούς μου
προεῖδες. ὅτι οὐκ ἔστι δόλος ἐμ
τῆ γλώσσῃ μου.
Ἰδοὺ κύριε σὺ ἔγνως πάντα
ἔσχατα καὶ τὰ ἀρχαῖα. σὺ ἔ
πλασάς με καὶ ἔθηκας ἐπ' ἐμὲ
τὴν χεῖρά σου.
Ἐθαυμαστώθη ἡ γνῶσίς σου ἐξ ἐ
μοῦ. ἐκραταιώθη. οὐ μὴ δύνω
μαι πρὸς αὐτήν.
Ποῦ πορευθῶ ἀπὸ τοῦ πνεύμα
τός σου. καὶ ἀπὸ τοῦ προσώπου
σου ποῦ φύγω;
Ἐὰν ἀναβῶ εἰς τὸν οὐρανὸν σὺ
ἐκεῖ εἶ. ἐὰν καταβῶ εἰς τὸν ᾅ
δην πάρει.
Ἐὰν ἀναλάβοιμι τὰς πτέρυ
γάς μου κατ' ὄρθρον. καὶ κατα
σκηνώσω εἰς τὰ ἔσχατα τῆς
θαλάσσης.
Καὶ γὰρ ἐκεῖ ἡ χείρ σου ὁδηγή
σει με. καὶ καθέξει με ἡ δεξι
ά σου.
Καὶ εἶπα ἄρα σκότος κατα
πατήσει με. καὶ νὺξ φωτισμὸς
ἐν τῇ τρυφῇ μου.
Ὅτι σκότος οὐ σκοτισθήσεται
ἀπὸ σοῦ. καὶ νὺξ ὡς ἡμέρα
φωτισθήσεται. ὡς τὸ σκότος

Et omnes uias mei
præuidisti. quia non est dolus in
lingua mei.
Ecce domine tu cognouisti omnia
nouissima & antiqua. tu for
masti me & posuisti super me
manum tui.
Mirabilis facta est scientia tui ex
me. confortata est non po
tero ad eam.
Quo ibo a spi
ritu tuo. & a facie
tui quo fugiam?
Si ascendero in cælum tu
illic es. si descendero in infer
num ades.
Si assumam pen
nas mei per diluculum. & habita
uero in extrema
maris.
Et enim illuc manus tui dedu
cet me. & tenebit me dexte
ra tui.
Et dixi forsitan tenebra concul
cabit me. & nox illuminatio
in delitiis mei.
Quia tenebra non obscurabitur
a te. & nox sicut dies
illuminabitur. sicut tenebra

αὐτῆς. οὕτω καὶ τὸ φῶς αὐ
τῆς.
Ὅτι σὺ ἐκτήσω τοὺς νεφροὺς
μου. ἀντελάβου μου ἐκ γα
στρὸς μητρός μου.
Ἐξομολογήσομαί σοι ὅτι φο
βερῶς ἐθαυμαστώθης. θαυμά
σια τὰ ἔργα σου. καὶ ἡ ψυχή
μου γινώσκει σφόδρα.
Οὐκ ἐκρύβη τὸ ὀστοῦν μου ἀ
πὸ σοῦ ὃ ἐποίησας ἐν κρυφῇ
καὶ ἡ ὑπόστασίς μου ἐν τοῖς
κατωτάτοις τῆς γῆς.
Τὸ ἀκατέργαστόν μου εἶδον οἱ
ὀφθαλμοί σου. καὶ ἐπὶ τὸ βι
βλίον σου πάντες γραφή
σονται. ἡμέρας πλασθήσον
ται καὶ οὐθεὶς ἐν αὐτοῖς.
Ἐμοὶ δὲ λίαν ἐτιμήθησαν οἱ
φίλοι σου ὁ θεός. λίαν ἐκραται
ώθησαν αἱ ἀρχαὶ αὐτῶν.
Ἐξαριθμήσομαι αὐτοὺς καὶ ὑ
πὲρ ἄμμον πληθυνθήσονται.
ἐξηγέρθην καὶ ἔτι εἰμὶ μετὰ σοῦ.
Ἐὰν ἀποκτείνῃς ἁμαρτω
λοὺς ὁ θεός. ἄνδρες αἱμά
των ἐκκλίνατε ἀπ᾽ ἐμοῦ.
Ὅτι ἐρισταὶ ἐστὲ εἰς διαλογισ
μούς. λήψονται εἰς ματαιό

eius ita & lumen e
ius.
Quia tu possedisti renes
mei. suscepisti me ex u
tero matris mei.
Confitebor tibi quia terribi-
liter magnificatus es. mira
bilia opera tui. & anima
mei cognoscit nimis.
Non est occultatum os mei
a te quod fecisti in occulto.
& substantia mei in
infimis terræ.
Imperfectum mei uiderunt
oculi tui. & in li
bro tui omnes scriben
tur. die formabun
tur & nemo in eis.
Mihi autem nimis honorati sunt
amici tui deus. nimis conforta
ti sunt principatus eorum.
Dinumerabo eos & su
per arenam multiplicabuntur
exurrexi & adhuc sum cum te.
Si occideris peccato
res deus. uiri sangui
num declinate a me.
Quia litigatores estis in cogita
tiones. accipient in uanita

τητα τὰς πόλεις σου.
Οὐχὶ τοὺς μισοῦντάς σε κύ
ριε ἐμίσησα. καὶ ἐπὶ τοὺς ἐχ
θρούς σου ἐξετηκόμην.
Τέλειον μῖσος ἐμίσουν αὐ
τούς. εἰς ἐχθροὺς ἐγένοντό μοι.
Δοκίμασόν με ὁ θεός. καὶ γνῶ
θι τὴν καρδίαν μου. ἔτασόν
με καὶ γνῶθι τὰς τρίβους μου.
Καὶ ἴδε εἰ ὁδὸς ἀνομίας ἐν ἐ
μοί. καὶ ὁδήγησόν με ἐν ὁδῷ
αἰωνίᾳ.

εἰς τὸ τέλος ψαλμὸς τῷ
δαυίδ. ρλθ.

ἐ ξελοῦ με κύριε ἐξ ἀνθρώ
που πονηροῦ. ἀπὸ ἀν
δρὸς ἀδίκου ῥῦσαί με.
Οἵτινες ἐλογίσαντο ἀδικίαν
ἐν καρδίᾳ. ὅλην τὴν ἡμέραν
παρετάσσοντο πολέμους.
Ἠκόνησαν γλῶσσαν αὐτῶν
ὡσεὶ ὄφεως. ἰὸς ἀσπίδων ὑ
πὸ τὰ χείλη αὐτῶν.
Φύλαξόν με κύριε ἐκ χειρὸς
ἁμαρτωλοῦ. ἀπὸ ἀνθρώ
πων ἀδίκων ἐξελοῦ με.
Οἵτινες διελογίσαντο τοῦ

tem ciuitates tui.
Nonne odientes te do
mine odi. & super ini
micos tui extabescebam.
Perfecto odio oderā e
os. in inimicos facti sunt mihi.
Proba me deus. & sci
to cor mei. interroga
me & cognosce semitas mei.
Et uide si uia iniquitatis in
me. & deduc me in uia
æterna.

In finem psalmus
Dauid. C.xxxviiii.

e ripe me domine ab homi
ne malo. a ui
ro iniquo eripe me.
Qui cogitauerunt iniquitatem
in corde. totam diem
constituebant bella.
Acuerunt linguam eorum
sicut serpentis. uenenum aspidū
sub labiis eorum.
Custodi me domine de manu
peccatoris. ab ho
minibus iniquis eripe me.
Qui cogitauerunt

ὑποσκελίσαι τὰ διαβήματα
μου. ἔκρυψαν ὑπερήφανοι
παγίδα μοι.
Καὶ σχοινίοις διέτειναν παγί
δα τοῖς ποσί μου. ἐχόμενα
τρίβου σκάνδαλα ἔθεντο μοι.
Εἶπα τῷ κυρίῳ θεός μου εἶ
σύ. ἐνώτισαι κύριε τὴν φω
νὴν τῆς δεήσεώς μου.
Κύριε κύριε δύναμις τῆς
σωτηρίας μου. ἐπεσκίασας
ἐπὶ τὴν κεφαλήν μου ἐν ἡμέ
ρᾳ πολέμου.
Μὴ παραδῷς με κύριε ἀπὸ
τῆς ἐπιθυμίας μου τῷ ἁ
μαρτωλῷ. διελογίσαντο κα
τ᾽ ἐμοῦ. μὴ ἐγκαταλίπῃς με
μήποτε ὑψωθῶσι.
Ἡ κεφαλὴ τοῦ κυκλώματος
αὐτῶν. κόπος τῶν χειλέων
αὐτῶν καλύψει αὐτούς.
Πεσοῦνται ἐπ᾽ αὐτοὺς ἄν
θρακες ἐν πυρί. καταβαλεῖς
αὐτοὺς ἐν ταλαιπωρίαις.
καὶ οὐ μὴ ὑποστῶσιν.
Ἀνὴρ γλωσσώδης οὐ κατευ
θυνθήσεται ἐπὶ τῆς γῆς. ἄν
δρα ἄδικον κακὰ θηρεύσει
εἰς διαφθοράν.

ſupplantare greſſus
mei. abſconderunt ſuperbi
laqueum mihi.
Et funibus extenderunt la
queum pedibus mei proxima
ſemitæ ſcandala poſuerunt mihi.
Dixi domino deus mei es
tu. exaudi domine uo
cem deprecationis mei.
Domine domine uirtus
ſalutis mei. obumbraſti
ſuper caput mei in di
e belli.
Ne tradas me domine a
deſiderio mei peccato
ri cogitauerunt con
tra me. ne derelinquas me
ne forte exaltentur.
Caput circuitus
eorum. labor labiorum
eorum operiet eos.
Cadent ſuper eos car
bones in igni. deicies
eos in miſeriis.
& non ſubſiſtent.
Vir linguoſus non dirige
tur in terra. ui
rum iniuſtum mala capient
in interitum.

ἔγνων ὅτι ποιήσει κύριος τὴν
κρίσιν τῶν πτωχῶν. καὶ τὴν
δίκ ην τῶν πενήτων.
Πλὴν δίκαιοι ἐξομολογήσον
ται τῷ ὀνόματί σου. καὶ κατοι
κήσουσιν εὐθεῖς σὺν τῷ προ
σώπῳ σου.

Δό. ψαλμὸς τῷ δαυὶδ. ρμ.

κ ύριε ἐκέκραξα πρὸς σέ εἰσά
κουσόν μου. πρόσχες τῇ
φωνῇ τῆς δεήσεώς μου. ἐν
τῷ κεκραγέναι με πρὸς σέ.
Κατευθυνθήτω ἡ προσευχή μου
ὡς θυμίαμα ἐνώπιόν σου. ἔ
παρσις τῶν χειρῶν μου. θυ
σία ἑσπερινή.
Θοῦ κύριε φυλακὴν τῷ στόματί
μου. καὶ θύραν περιοχῆς περὶ
τὰ χείλη μου.
Μὴ ἐκκλίνῃς τὴν καρδίαν
μου εἰς λόγους πονηρίας τοῦ
προφασίζεσθαι προφάσεις
ἐν ἁμαρτίαις.
Σὺν ἀνθρώποις ἐργαζομένοις
τὴν ἀνομίαν. καὶ οὐ μὴ συν
δυάσω μετὰ τῶν ἐκλεκτῶν
αὐτῶν

Cognoui quod faciet dominus
iudicium inopum. &
causam pauperum.
Verũtamen iusti confitebun
tur nomini tui. & habita
bunt recti cum uul
tu tui.

Gloria. Psalmus Dauid. C.xl.

d omine clamaui ad te exau
di me. attende
uoci deprecationis mei in
clamauisse me ad te.
Dirigatur oratio mei
sicut incensum coram te. ele
uatio manuum mei sacrifi
cium uespertinum.
Pone domine custodiam ori
mei. & ostium circunstantiæ circa
labia mei.
Non declines cor
mei in uerba maliciæ
excusari excusationes
in peccatis.
Cum hominibus operantibus
iniquitatem. & non commu
nicabo cum electis
eorum.

Καὶ παιδεύσει με δίκαιος ἐν ἐλέει καὶ ἐξελέγξει με. ἔλαιον δὲ ἁμαρτωλοῦ μὴ λιπανάτω τὴν κεφαλήν μου.

Ὅτι ἔτι προσευχή μου ἐν ταῖς εὐδοκίαις αὐτῶν. κατεπόθησαν ἐχόμενα πέτρας οἱ κριταὶ αὐτῶν.

Ἀκούσονται τὰ ῥήματά μου ὅτι ἠδυνήθησαν. ὡσεὶ πάχος γῆς ἐρράγη ἐπὶ τῆς γῆς.

Διεσκορπίσθη τὰ ὀστᾶ αὐτῶν παρὰ τὸν ᾅδην. ὅτι πρὸς σὲ κύριε κύριε οἱ ὀφθαλμοί μου ἐπὶ σοὶ ἤλπισα, μὴ ἀντανέλῃς τὴν ψυχήν μου.

Φύλαξόν με ἀπὸ παγίδος ἧς συνεστήσαντό μοι. καὶ ἀπὸ σκανδάλων τῶν ἐργαζομένων τὴν ἀνομίαν.

Πεσοῦνται ἐν ἀμφιβλήστρῳ αὐτῶν οἱ ἁμαρτωλοί. κατὰ μόνας εἰμὶ ἐγὼ ἕως ἂν παρέλθω.

Συνέσεως τῷ Δαυὶδ ἐν τῷ εἶναι αὐτὸν ἐν τῷ σπηλαίῳ προσευχόμενον. ρμα.

Et corriget me iustus in misericordia & increpabit me. oleũ autem peccatoris non impinguet caput mei.

Quoniam adhuc oratio in beneplacitis eorum. absorpta sunt proxima petræ iudices eorum.

Audient uerba mei quoniã potuerunt. sicut crassitudo terræ erupta est super terram.

Dissipata sunt ossa eorum secus infernum. quoniam ad te domine domine oculi mei. in te speraui non auferas animam mei.

Custodi me a laqueo quem statuerunt mihi. & a scandalis operantium iniquitatem.

Cadent in retiaculo eorum peccatores. singulariter sum ego donec transeam.

Intellectus Dauid in esse eum in spelunca orantẽ. C.xli.

φωνῆ μου πρὸς κύριον ἐκέ
κραξα. φωνῆ μου πρὸς
κύριον ἐδεήθην.
ἐκχεῶ ἐνώπιον αὐτοῦ τὴν δέ
ησίν μου. τὴν θλῖψίν μου ἐνώ
πιον αὐτοῦ ἀπαγγελῶ.
ἐν τῷ ἐκλείπειν ἀπ᾽ ἐμοῦ τὸ
πνεῦμά μου. καὶ σὺ ἔγνως
τὰς τρίβους μου.
ἐν ὁδῷ ταύτῃ ᾗ ἐπορευόμην
ἔκρυψαν παγίδα μοι.
Κατενόουν εἰς τὰ δεξιὰ καὶ ἀ
πέβλεπον. καὶ οὐκ ἦν ὁ ἐπιγι
νώσκων με.
Ἀπώλετο φυγὴ ἀπ᾽ ἐμοῦ. καὶ
οὐκ ἔστιν ὁ ἐκζητῶν τὴν ψυχήν
μου.
ἐκέκραξα πρὸς σέ κύριε. εἶπα
σὺ εἶ ἐλπίς μου. μερίς μου ἐν
γῇ ζώντων.
Πρόσχες πρὸς τὴν δέησίν μου
ὅτι ἐταπεινώθην σφόδρα.
Ῥῦσαί με ἐκ τῶν καταδιωκόν
των με. ὅτι ἐκραταιώθησαν ὑ
πὲρ ἐμέ.
Ἐξάγαγε ἐκ φυλακῆς τὴν ψυ
χήν μου τοῦ ἐξομολογήσασ-
θαι τῷ ὀνόματί σου. ἐμὲ ὑπο
μενοῦσι δίκαιοι. ἕως οὗ ἀν

uoce mei ad dominum cla
maui. uoce mei ad do
minum deprecatus sum.
Effundam coram eo deprecatio
nem mei. tribulationem mei co
ram eo annuntiabo.
In deficere ex me
spiritum mei. & tu cogno
uisti semitas mei.
In uia hic qua ambulabam
absconderunt laqueum mihi.
Considerabā ad dextra & respicie
bam. & non erat cogno
scens me.
Periit fuga a me. &
non est exquirens animam
mei.
Clamaui ad te domine. dixi
tu es spes mei. portio mei in
terra uiuentium.
Attende ad deprecationem mei
quia humiliatus sum nimis.
Libera me ex persequen
tibus me. quia conualuerunt su
per me.
Educ ex custodia ani
mam mei confite
ri nomini tui. me expe
ctant iusti donec retri

ταποδῶσ μοι.

ψαλμὸς τῷ δαυὶδ ὁπότε κα
τεδίωκεν αὐτὸν ἀβεσσαλὼμ
ὁ υἱὸσ αὐτοῦ. ρμβ.

κ ύριε ἐισάκουσον τῆσ προ
σευχῆς μου. ἐνώτισαι τὴν
δέησίν μου ἐν τῇ ἀληθέια σου
ἐισάκουσόν μου ἐν τῇ δικαι
οσύνῃ σου.
Καὶ μὴ ἐισέλθῃς ἐις κρίσιν με
τὰ τοῦ δούλου σου. ὅτι οὐ
δικαιωθήσεται ἐνώπιόν σου
πᾶσ ζῶν.
Ὅτι κατεδίωξεν ὁ ἐχθρὸς
τὴν ψυχήν μου. ἐταπείνω
σεν ἐις γῆν τὴν ζωήν μου.
ἐκάθισέ με ἐν σκοτεινοῖς ὡς
νεκροὺς αἰῶνος. καὶ ἠκηδίασεν
ἐπ᾽ ἐμὲ τὸ πνεῦμά μου. ἐν
ἐμοὶ ἐταράχθη ἡ καρδία μου.
Ἐμνήσθην ἡμερῶν ἀρχαίων.
ἐμελέτησα ἐν πᾶσι τοῖσ ἔρ
γοισ σου. ἐν ποιήμασι τῶν
χειρῶν σου ἐμελέτων.
Διεπέτασα πρόσ σε τὰσ χεῖ
ρασ μου. ἡ ψυχή μου ὡς
γῆ ἄνυδροσ σοί.

buas mihi.

Psalmus David quando persequebatur eum Abessalom
filius eius. C.xlii.

d omine exaudi oratio
nem mei exaudi
depcationem mei in ueritate tui
exaudi me in iusti
cia tui.
Et non intres in iudiciū
cum seruo tui. quia non
iustificabitur coram te
omnis uiuens.
Quoniam persecutus est inimicus
animam mei. humilia
uit in terram uitam mei.
Collocauit me in obscuris sicut
mortuos sæculi. & anxiatus est
super me spiritus mei. in
me turbatū est cor mei.
Recordatus sū dierum antiquorū
meditatus sum in omnibus ope
ribus tui. in factis
manuum tui meditabar.
Expandi ad te ma
nus mei. anima mei sicut
terra arida tibi.

Ταχὺ ἠσάκουσόν μου κύριε.
ἐξέλιπε τὸ πνεῦμά μου.
Μὴ ἀποστρέψης τὸ πρόσω
πόν σου ἀπ᾿ ἐμοῦ. καὶ ὁμοι
ωθήσομαι τοῖς καταβαίνουσιν
εἰς λάκκον.
Ἀκουστὸν ποίησόν μοι τὸ πρωῒ
τὸ ἔλεός σου. ὅτι ἐπὶ σοὶ ἤλπι
σα.
Γνώρισόν μοι κύριε ὁδὸν ἐν ᾗ
πορεύσομαι. ὅτι πρὸς σὲ ἦρα
τὴν ψυχήν μου.
Ἐξελοῦ με ἐκ τῶν ἐχθρῶν μου
κύριε. πρὸς σὲ κατέφυγον. δί
δαξόν με τὸ ποιεῖν τὸ θέλημά
σου. ὅτι σὺ εἶ ὁ θεός μου.
Τὸ πνεῦμά σου τὸ ἀγαθὸν ὁδη
γήσει με ἐν γῇ εὐθείᾳ. ἕνεκεν
τοῦ ὀνόματός σου κύριε ζήσεις
με ἐν τῇ δικαιοσύνῃ σου.
Ἐξάξεις ἐκ θλίψεως τὴν ψυ
χήν μου. καὶ ἐν τῷ ἐλέει σου
ἐξολοθρεύσεις τοὺς ἐχθρούς
μου.
Καὶ ἀπολεῖς πάντας τοὺς
θλίβοντας τὴν ψυχήν μου. ὅ
τι ἐγὼ δοῦλός σου εἰμί.

Δό. Κάθ. ιθ.

Velociter exaudi me domine.
defecit spiritus mei.
Ne auertas faci
em tui a me. & assimila
bor descendentibus
in lacum.
Auditam fac mihi mane
misericordiam tui quia in te spe
raui.
Notifica mihi domine uiam in qua
ambulabo. quia ad te leuaui
animam mei.
Eripe me ex inimicis mei
domine. ad te confugi. do
ce me facere uoluntatem
tui. quoniam tu es deus mei.
Spiritus tui bonus dedu
cue me in terra recta. propter
nomen tui domine uiuificabis
me in iusticia tui.
Educes ex tribulatione ani
mam mei. & in misericordia tui
disperdes inimicos
mei.
Et perdes omnes
tribulantes animam mei. quo
niam ego seruus tui sum.

Gloria Sessio.xviiii.

Ψαλμὸς τῷ δαυὶδ πρὸς τὸν γολιάθ.
ρμγ.

Εὐλογητὸς κύριος ὁ θεὸς
μου ὁ διδάσκων τὰς
χεῖρας μου εἰς παράταξιν, τοὺς
δακτύλους μου εἰς πόλεμον.
ἔλεός μου καὶ καταφυγή μου.
ἀντιλήπτωρ μου καὶ ῥύστης μου.
ὑπερασπιστής μου. καὶ ἐπ' αὐ
τῷ ἤλπισα. ὁ ὑποτάσσων τὸν
λαόν μου ὑπ' ἐμέ.
Κύριε τί ἐστιν ἄνθρωπος. ὅτι ἐ
γνώσθης αὐτῷ. ἢ υἱὸς ἀνθρώ
που. ὅτι λογίζῃ αὐτῷ.
Ἄνθρωπος ματαιότητι ὡμοι
ώθη. αἱ ἡμέραι αὐτοῦ ὡσεὶ
σκιὰ παράγουσι.
Κύριε κλῖνον οὐρανοὺς καὶ κα
τάβηθι. ἅψαι τῶν ὀρέων καὶ
καπνισθήσονται.
Ἄστραψον ἀστραπὴν καὶ σκορπι
εῖς αὐτούς. ἐξαπόστειλον τὰ
βέλη σου καὶ συνταράξεις αὐ
τούς.
Ἐξαπόστειλον τὴν χεῖρα σου ἐξ
ὕψους. ἐξελοῦ με καὶ ῥῦσαι
με ἐξ ὑδάτων πολλῶν. ἐκ χει
ρὸς υἱῶν ἀλλοτρίων.

Dauid aduersus Goliath.
C.xliii.

Benedictus dominus deus
mei docens
manus mei ad prælium.
digitos mei ad bellum.
Misericordia mei refugium mei.
susceptor mei & liberator mei.
Protector mei & in i
pso speraui. subdens
populum mei sub me.
Domine quid est homo quia inno
tuisti ei. aut filius homi
nis quia reputas ei.
Homo uanitati similis
factus est. dies eius sicut
umbra prætereunt
Domine inclina cælos & de
scende. tange montes &
fumigabunt.
Fulgura fulgur & dissi
pabis eos. emitte
sagittas tui & conturbabis e
os.
Emitte manum tui ex al
to. eripe me & libera
me ex aquis multis. ex ma
nu filiorum alienorum.

ὧν τὸ στόμα ἐλάλησε ματαιό
τητα. καὶ ἡ δεξιὰ αὐτῶν δε
ξιὰ ἀδικίας.
Ὁ θεὸς ᾠδὴν καινὴν ᾄσομαί
σοι. ἐν ψαλτηρίῳ δεκαχόρδῳ
ψαλῶ σοι.
Τῷ διδόντι τὴν σωτηρίαν
τοῖς βασιλεῦσι. τῷ λυτρουμένῳ
Δαυὶδ τὸν δοῦλον αὐτοῦ ἐκ
ῥομφαίας πονηρᾶς.
Ῥῦσαί με καὶ ἐξελοῦ με ἐκ
χειρὸς υἱῶν ἀλλοτρίων. ὧν
τὸ στόμα ἐλάλησε ματαιό
τητα. καὶ ἡ δεξιὰ αὐτῶν δε
ξιὰ ἀδικίας.
Ὧν οἱ υἱοὶ αὐτῶν. ὡς νεόφυτα
ἱδρυμμένα ἐν τῇ νεότητι αὐ
τῶν.
Αἱ θυγατέρες αὐτῶν κεκαλλω
πισμέναι περικεκοσμημέ-
ναι ὡς ὁμοίωμα ναοῦ.
Τὰ ταμιεῖα αὐτῶν πλήρη. ἐξ
ερευγόμενα ἐκ τούτου εἰς
τοῦτο.
Τὰ πρόβατα αὐτῶν πολύτο
κα. πληθύνοντα ἐν ταῖς ἐξό
δοις αὐτῶν. οἱ βόες αὐτῶν
παχεῖς.
Οὐκ ἔστι κατάπτωμα φραγμοῦ

Quorum os locutum est uani
tatem. & dextera eorum dexte
ra iniquitatis.
Deus canticum nouum cantabo
tibi. in psalterio decachordo
psallam tibi.
Danti salutem
regibus redimenti
Dauid seruum eius ex
gladio maligno.
Libera me & eripe me ex
manu filiorum alienorum. quoꝝ
os locutum est uanita
tẽ. & dextera eoꝝ dexte
ra iniquitatis.
Quoꝝ filii eoꝝ sicut nouellæ plan
tationes stabilitæ in iuuentute ea
rum.
Filiæ eorum composi
tæ circũorna
tæ ut similitudo templi
Promptuaria eorum plena. e
ructantia ex hoc in
hoc.
Oues eorum foetuo
sæ abundantes in egres
sibus earum. boues eorum
crassi.
Non est ruina maceriæ

οὐδὲ διέξοδος. οὐδὲ κραυγὴ
ἐν ταῖς πλατείαις αὐτῶν.
ἐμακάρισαν λαὸν ᾧ ταῦτά
ἐστι. μακάριος ὁ λαὸς οὗ κύρι
ος ὁ θεὸς αὐτοῦ.

Αἴνεσις τῷ Δαυὶδ. ρμδ.

Ὑψώσω σε ὁ θεός μου ὁ βασι
λεύς μου, καὶ εὐλογήσω
τὸ ὄνομά σου εἰς τὸν αἰῶνα.
καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.
Καθ᾽ ἑκάστην ἡμέραν εὐλογήσω
σε. καὶ αἰνέσω τὸ ὄνομά σου
εἰς τὸν αἰῶνα καὶ εἰς τὸν αἰ
ῶνα τοῦ αἰῶνος.
Μέγας κύριος καὶ αἰνετὸς
σφόδρα. καὶ τῆς μεγαλωσύ
νης αὐτοῦ οὐκ ἔστι πέρας.
Γενεὰ καὶ γενεὰ ἐπαινέσει τὰ
ἔργα σου. καὶ τὴν δυναστείαν
σου ἀπαγγελοῦσι.
Τὴν μεγαλοπρέπειαν τῆς δό
ξης τῆς ἁγιωσύνης σου λα
λήσουσι. καὶ τὰ θαυμάσιά σου
διηγήσονται.
Καὶ τὴν δύναμιν τῶν φοβε
ρῶν σου ἐροῦσι. καὶ τὴν μεγα
λωσύνην σου διηγήσονται.

neque transitus. neque clamor
in plateis eorum.
Beatum dixerunt populum cui haec
sunt. beatus populus cuius do
minus deus eius.

Laus Dauid. C.xliiii.

exaltabo te deus mei
rex mei. & benedicam
nomen tui in sæculum
& in saeculum sæculi.
Per singulum diem benedicam
te. & laudabo nomen tui
in sæculum & in saecu
lum saeculi.
Magnus dominus & laudabilis
nimis. & magnitu
dinis eius non est finis.
Generatio & generatio laudabit
opera tui. & potentiam
tui annuntiabunt.
Magnificentiam glo
riae sanctitatis tui loquen
tur. & mirabilia tui
narrabunt.
Et uirtutem terribi
lium tui dicent. & magnitu
dinem tui narrabunt.

Μνήμην τοῦ πλήθους τῆς
χρηστότητός σου ἐξερεύξον
ται. καὶ τῇ δικαιοσύνῃ σου
ἀγαλλιάσονται.

Οἰκτίρμων καὶ ἐλεήμων ὁ
κύριος. μακρόθυμος καὶ πο
λυέλεος.

Χρηστὸς κύριος τοῖς σύμπασι.
καὶ οἱ οἰκτιρμοὶ αὐτοῦ ἐπὶ
πάντα τὰ ἔργα αὐτοῦ.

Ἐξομολογησάσθωσάν σοι κύ
ριε πάντα τὰ ἔργα σου. καὶ οἱ
ὅσιοί σου εὐλογησάτωσάν σε.

Δόξαν τῆς βασιλείας σου ἐ
ροῦσι. καὶ τὴν δυναστείαν σου
λαλήσουσι.

Τοῦ γνωρίσαι τοῖς υἱοῖς τῶν
ἀνθρώπων τὴν δυναστείαν
σου. καὶ τὴν δόξαν τῆς μεγα
λοπρεπείας τῆς βασιλείας
σου.

Ἡ βασιλεία σου βασιλεία πάν
των τῶν αἰώνων. καὶ ἡ δεσπο
τεία σου ἐν πάσῃ γενεᾷ καὶ γε
νεᾷ.

Πιστὸς κύριος ἐν πᾶσι τοῖς λό
γοις αὐτοῦ. καὶ ὅσιος ἐν πᾶσι
τοῖς ἔργοις αὐτοῦ.

Ὑποστηρίζει κύριος πάντας

Memoriam multitudinis
suauitatis tui eru
ctabunt. & iusticia tui
exultabunt.

Miserator & misericors
dominus. patiens & multum
misericors.

Suauis dominus uniuersis.
& miserationes eius super
omnia opera eius.

Confiteantur tibi do
mine omnia opera tui. & san
cti tui benedicant te

Gloriam regni tui di
cent. & potentiam tui
loquentur.

Notificare filiis
hominum potentiam
tui: & gloriam magnifi
centiae regni
tui.

Regnum tui regnum o
mnium saeculorum & domi
natio tui ĩ oĩ generatiõe & genera
tione.

Fidelis dominus ĩ omnibus uer
bis eius. & sanctus in omnibus
operibus eius.

Suffulcit dominus omnes qui

τοὺς καταπίπτοντας. καὶ ἀν
ορθοῖ πάντας τοὺς κατερρα
γμένους.
Οἱ ὀφθαλμοὶ πάντων εἰς σὲ
ἐλπίζουσι. καὶ σὺ δίδως τὴν
τροφὴν αὐτῶν ἐν εὐκαιρίᾳ.
Ἀνοίγεις σὺ τὴν χεῖρά σου καὶ
ἐμπιπλᾷς πᾶν ζῶον εὐδοκί
ας.
Δίκαιος κύριος ἐν πάσαις
ταῖς ὁδοῖς αὐτοῦ. καὶ ὅσιος
ἐν πᾶσι τοῖς ἔργοις αὐτοῦ.
Ἐγγὺς κύριος πᾶσι τοῖς ἐπικα
λουμένοις αὐτὸν πᾶσι τοῖς
ἐπικαλουμένοις αὐτὸν ἐν ἀλη
θείᾳ.
θέλημα τῶν φοβουμένων αὐ
τὸν ποιήσει. καὶ τῆς δεήσεως
αὐτῶν εἰσακούσεται καὶ σώ
σει αὐτούς.
φυλάσσει κύριος πάντας
τοὺς ἀγαπῶντας αὐτόν. καὶ
πάντας τοὺς ἁμαρτωλοὺς
ἐξολοθρεύσει.
Αἴνεσιν κυρίου λαλήσει τὸ στό
μά μου, καὶ εὐλογείτω πᾶσα
σὰρξ τὸ ὄνομα τὸ ἅγιον αὐ
τοῦ εἰς τὸν αἰῶνα καὶ εἰς
τὸν αἰῶνα τοῦ αἰῶνος.

corruunt. & e
rigit omnes alli
ſos.
Oculi omnium in te
ſperant. & tu das
eſcam eorum in opportunitate
Aperis tu manum tui &
imples omne animal benedicti
onis.
Iuſtus dominus in omnibus
uiis eius. & ſanctus
in omnibus operibus eius.
Prope dominus omnibus inuo
cantibus eum. omnibus
inuocantibus eum in ue
ritate.
Voluntatem timentium e
um faciet. & deprecationem
eorum exaudiet & ſal
uabit eos.
Cuſtodit dominus omnes
diligentes eum. &
omnes peccatores
diſperdet.
Laudationem domini loquetur
os mei. & benedicat omnis
caro nomen ſanctum e
ius in ſæculum & in
ſæculum ſæculi.

Ἀλληλούια. Ἀγγαίου καὶ Ζαχαρί
ου. ρμε.

α΄ ινει ἡ ψυχή μου τὸν κύρι
ον αἰνέσω κύριον ἐν
ζωῇ μου. ψαλῶ τῷ θεῷ μου
ἕως ὑπάρχω.
Μὴ πεποίθατε ἐπ᾽ ἄρχοντας
ἐπὶ υἱοὺς ἀνθρώπων, οἷς οὐκ
ἔστι σωτηρία.
Ἐξελεύσεται τὸ πνεῦμα αὐ
τοῦ καὶ ἐπιστρέψει εἰς τὴν γῆν
αὐτοῦ. ἐν ἐκείνῃ ἡμέρᾳ ἀπο
λοῦνται πάντες οἱ διαλογι
σμοὶ αὐτῶν.
Μακάριος οὗ ὁ θεὸς ἰακὼβ βο
ηθὸς αὐτοῦ. ἡ ἐλπὶς αὐτοῦ ἐ
πὶ κύριον τὸν θεὸν αὐτοῦ τὸν
ποιήσαντα τὸν οὐρανὸν καὶ
τὴν γῆν. τὴν θάλασσαν καὶ
πάντα τὰ ἐν αὐτοῖς.
Τὸν φυλάσσοντα ἀλήθειαν εἰς
τὸν αἰῶνα. ποιοῦντα κρίμα
τοῖς ἀδικουμένοις. διδόντα
τροφὴν τοῖς πεινῶσι.
Κύριος λύει πεπεδημένους.
κύριος σοφοῖ τυφλούς.
Κύριος ἀνορθοῖ κατερραγμέ
νους. κύριος ἀγαπᾷ δικαίους.

Alleluia. Aggaei & Zachari
æ. C. xlv.

l auda anima mei do
minū. laudabo dominū in
uita mei. psallam deo mei
quandiu sum.
Non confidite in principes
in filios hominum quibus non
est salus.
Exibit spiritus e
ius & reuertetur in terrā
eius. in illa die peri
bunt omnes cogitatio
nes eoꝝ.
Beatus cuius deus Iacob adiu
tor eius. spes eius
in dominum deum eius
qui fecit cælum &
terrā. mare &
omnia in eis.
Custodientem ueritatē in
sæculū. facientē iudiciū
iniuriā patientibus. dantem
escā esurientibus.
Dominus soluit cōpeditos.
dominus illuminat cæcos.
Dominus erigit eli-
sos. dominus diligit iustos.

Κύριος φυλάσσει τοὺς προση
λύτους ὀρφανὸν καὶ χήραν
ἀναλήψεται. καὶ ὁδὸν ἁμαρ
τωλῶν ἀφανιεῖ.
Βασιλεύσει κύριος εἰς τὸν αἰ
ῶνα ὁ θεός σου σιὼν εἰς γενε
ὰν καὶ γενεάν.

Ἀλληλούια. ρμϛ.

ἀ ινεῖτε τὸν κύριον ὅτι ἀγα
θὸν ψαλμός. τῷ θεῷ
ἡμῶν ἡδυνθείη αἴνεσις.
Ὁ οἰκοδομῶν ἱερουσαλὴμ ὁ
κύριος τὰς διασπορὰς τοῦ
ἰσραὴλ ἐπισυνάξει.
Ὁ ἰώμενος τοὺς συντετριμ
μένους τὴν καρδίαν. καὶ
δεσμεύων τὰ συντρίμμα
τα αὐτῶν.
Ὁ ἀριθμῶν πλήθη ἄστρων. καὶ
πᾶσιν αὐτοῖς ὀνόματα κα
λῶν.
Μέγας κύριος ὁ θεὸς ἡμῶν καὶ
μεγάλη ἡ ἰσχὺς αὐτοῦ. καὶ
τῆς συνέσεως αὐτοῦ οὐκ ἔ
στιν ἀριθμός.
Ἀναλαμβάνων πραεῖς ὁ κύ
ριος. ταπεινῶν δὲ ἁμαρτω

Dominus custodit aduenas.
pupillum & uiduam
suscipiet. & uiam peccato
rum disperdet.
Regnabit dominus in sæcu
lum deus tui Sion in generatio
nem & generationē.

Alleluia. Cxlvi.

L audate dominū quoniā bo
num psalmus. deo no
strum iucunda sit laudatio.
Aedificans Hierusalē
dominus. dispersiones
Israelis congregabit.
Sanans contri-
tos corde. &
ligans contritio
nes eius.
Numerās multitudines astroꝝ &
omnibus eis nomina uo
cans.
Magnus dominus deus noster &
magna uirtus eius. &
intellectus eius non
est numerus.
Suscipiens mansuetos do
minus. humilians autem peccato

λοῦσ' ἕωσ γῆσ.
ἐξάρξατε τῷ κυρίῳ ἐν ἐξομο
λογήσει. ψάλατε τῷ θεῷ ἡ
μῶν ἐν κιθάρᾳ.
τῷ περιβάλλοντι τὸν οὐρα
νὸν ἐν νεφέλαις. τῷ ἑτοι
μάζοντι τῇ γῇ ὑετόν.
τῷ ἐξανατέλλοντι ἐν ὄρεσι
χόρτον. καὶ χλόην τῇ δου
λείᾳ τῶν ἀνθρώπων.
διδόντι τοῖς κτήνεσι τρο
φὴν αὐτῶν. καὶ τοῖς νεοσσοῖς
τῶν κοράκων τοῖς ἐπικαλου
μένοις αὐτόν.
οὐκ ἐν τῇ δυναστείᾳ τοῦ ἵππου
θελήσει. οὐδὲ ἐν ταῖς κνή
μαις τοῦ ἀνδρὸς εὐδοκεῖ.
εὐδοκεῖ κύριος ἐν τοῖς φο
βουμένοις αὐτόν. καὶ ἐν τοῖς
ἐλπίζουσιν ἐπὶ τὸ ἔλεος αὐτοῦ.

ἀλληλούϊα. ἀγγαίου καὶ ζαχαρί
ου. ρμζ.

ἐ παίνει ἱερουσαλὴμ τὸν
κύριον. αἴνει τὸν θεόν σου
σιών.
ὅτι ἐνίσχυσε τοὺς μοχλοὺς
τῶν πυλῶν σου. εὐλόγησε

res usque terram.
Præcinite domino in confessi
one. psallite deo no
strum in cithara.
Operienti cæ
lum in nubibus. pa
ranti terræ pluuiam.
Producenti in montibus
foenum. & haerbam serui
tuti hominum.
Danti iumentis es
cam eorum. & pullis
coruorum inuocan
tibus eum.
Non in potentia equi
uolet. neque in tibiis
uiri beneplacitum est.
Suscipit dominus in timenti
bus eum. & in
sperãtibus super misericordiã eius

Alleluia. aggæi & Zacha
riæ. C.xlvii.

L auda hierusalem
dominum. lauda deum tuu
Sion.
Quoniam confortauit seras
portarum tui. benedixit

τοὺς υἱούς σου ἐν σοί.
Ὁ τιθεὶς τὰ ὅριά σου εἰρήνην.
καὶ στέαρ πυροῦ ἐμπιπλῶν σε.
Ὁ ἀποστέλλων τὸ λόγιον αὐ
τοῦ τῇ γῇ. ἕως τάχους δρα
μεῖται ὁ λόγος αὐτοῦ.
Διδόντος χιόνα αὐτοῦ ὡσεὶ
ἔριον. ὁμίχλην ὡσεὶ σποδὸν
πάσσοντος.
Βάλλοντος κρύσταλλον αὐ
τοῦ ὡσεὶ ψωμούς. κατὰ
πρόσωπον ψύχους αὐτοῦ
τίς ὑποστήσεται.
ἐξαποστελεῖ τὸν λόγον αὐ
τοῦ καὶ τήξει αὐτά. πνεύ
σει τὸ πνεῦμα αὐτοῦ καὶ
ῥυήσεται ὕδατα.
Ὁ ἀπαγγέλλων τὸ λόγιον αὐ
τοῦ τῷ ἰακώβ. δικαιώματα
καὶ κρίματα αὐτοῦ τῷ ἰσραήλ.
Οὐκ ἐποίησεν οὕτως παντὶ
ἔθνει. καὶ τὰ κρίματα αὐ
τοῦ οὐκ ἐδήλωσεν αὐτοῖς.

Δό. Ἀλληλούια. Ἀγγαίου καὶ
Ζαχαρίου. ρμη.

α ἰνεῖτε τὸν κύριον ἐκ τῶν
οὐρανῶν. αἰνεῖτε αὐτὸν

filios tui in te.
Ponens fines tui pacem.
& adipe frumenti implens te.
Mittens eloquium e
ius terræ velociter cur
ret sermo eius.
Dantis niuem ut
lanam. nebulam ut cinerem
spargentis.
Mittentis glaciem e
ius ut buccellas. ante
faciem frigoris eius
quis sustinebit?
Emittet uerbum e
ius & liquefaciet ea. fla
bit spiritus eius &
fluent aquæ.
Annuntians eloquium e
ius Iacob. iusticias
& iudicia eius Israel.
Non fecit taliter omni
nationi. & iudicia e
ius non manifestauit eis.

Gloria. Alleluia. Aggæi &
Zachariæ. C.xlviii.

l audate dominum de
cælis. laudate eum

| | |
|---|---|
| ἐν τοῖς ὑψίστοις. | in excelsis. |
| Αἰνεῖτε αὐτὸν πάντες οἱ ἄγγε | Laudate eum omnes ange |
| λοι αὐτοῦ. αἰνεῖτε αὐτὸν πᾶ | li eius. laudate eum o |
| σαι αἱ δυνάμεις αὐτοῦ. | mnes uirtutes eius. |
| Αἰνεῖτε αὐτὸν ἥλιος καὶ σελήνη. | Laudate eum sol & luna. |
| αἰνεῖτε αὐτὸν πάντα τὰ ἄσ | Laudate eum omnia syde |
| τρα καὶ τὸ φῶς. | ra & lumen. |
| Αἰνεῖτε αὐτὸν οἱ οὐρανοὶ τῶν | Laudate eum cæli |
| οὐρανῶν καὶ τὸ ὕδωρ τὸ ὑ | cælorum & aqua su |
| περάνω τῶν οὐρανῶν αἰνεσά | per cælos lau |
| τω τὸ ὄνομα κυρίου. | det nomen domini. |
| Ὅτι αὐτὸς εἶπε καὶ ἐγενήθησαν. | Quia ipse dixit & facta sunt. |
| αὐτὸς ἐνετείλατο καὶ ἐκτίσθη | ipse mandauit & creata |
| σαν. | sunt. |
| Ἔστησεν αὐτὰ εἰς τὸν αἰῶνα | Statuit ea in æternum |
| καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος. | & in sæculum sæculi. |
| πρόσταγμα ἔθετο καὶ οὐ πα | præceptum posuit & nō praeteri |
| ρελεύσεται. | bunt. |
| Αἰνεῖτε τὸν κύριον ἐκ τῆς γῆς. | Laudate dominum ex terra. |
| δράκοντες καὶ πᾶσαι ἄβυσσοι. | dracones & omnes abyssi. |
| Πῦρ. χάλαζα. χιών. κρύσταλλος | Ignis. grando. nix. glacies |
| πνεῦμα καταιγίδος. τὰ ποι | spiritus procellarum facien |
| οῦντα τὸν λόγον αὐτοῦ. | tia uerbum eius. |
| Τὰ ὄρη καὶ πάντες οἱ βουνοί. | Montes & omnes colles. |
| ξύλα καρποφόρα καὶ πᾶ | ligna fructifera & o |
| σαι κέδροι. | mnes cedri. |
| Τὰ θηρία καὶ πάντα τὰ κτήνη. | Bestiae & uniuersa pecora |
| ἑρπετὰ καὶ πετεινὰ πτερωτά. | reptilia & uolucres pennatae. |
| Βασιλεῖς τῆς γῆς καὶ πάντες | Reges terrae & omnes |

λαοί. ἄρχοντες καὶ πάντες
κριταὶ γῆς.
Νεανίσκοι καὶ παρθένοι πρεσβύ
τεροι μετὰ νεωτέρων αἰνεσάτω
σαν τὸ ὄνομα κυρίου, ὅτι ὑψώθη
τὸ ὄνομα αὐτοῦ μόνου.
Ἡ ἐξομολόγησις αὐτοῦ ἐπὶ γῆς
καὶ οὐρανοῦ. καὶ ὑψώσει κέ
ρας λαοῦ αὐτοῦ.
Ὕμνος πᾶσι τοῖς ὁσίοις αὐ
τοῦ. τοῖς υἱοῖς ἰσραὴλ λαῷ ἐγ
γίζοντι αὐτῷ.

Ἀλληλούια. ρμθ.

ᾆ σατε τῷ κυρίῳ ἆμα
καινόν. ἡ αἴνεσις αὐτοῦ
ἐν ἐκκλησίᾳ ὁσίων.
Εὐφρανθήτω ἰσραὴλ ἐπὶ τῷ
ποιήσαντι αὐτόν. καὶ υἱοὶ σι
ὼν ἀγαλλιάσθωσαν ἐπὶ τῷ
βασιλεῖ αὐτῶν.
Αἰνεσάτωσαν τὸ ὄνομα αὐ
τοῦ ἐν χορῷ. ἐν τυμπάνῳ καὶ
ψαλτηρίῳ ψαλάτωσαν αὐτῷ.
Ὅτι εὐδοκεῖ κύριος ἐν τῷ λα
ῷ αὐτοῦ. καὶ ὑψώσει πρα
εῖς ἐν σωτηρίᾳ.
Καυχήσονται ὅσιοι ἐν δόξῃ.

populi. principes & omnes
iudices terrræ.
Iuuenes & uirgines senio
res cum iunioribus lau
dent nomen domini. quia exalta
tum est nomen eius solius.
Confessio eius super terram
& cælum. & exaltabit cor
nu populi eius.
Hymnus omnibus sanctis e
ius. filiis israel populo appropinquã
ti ei.

Alleluia. C. xlviiii.

c antate domino canticum
nouum. laus eius
in conuentu sanctorum.
Lætetur israel in eo qui
fecit eum. & filii Si
on exultent in
rege eorum.
Laudent nomen e
ius in choro. in tympano &
psalterio psallant ei.
Quia beneplacet dominus ĩ popu
lo eius. & exaltabit mansue
tos in salute
Exultabunt sancti in gloria.

καὶ ἀγαλλιάσονται ἐπὶ τῶν
κοιτῶν αὐτῶν.
Αἱ ὑψώσεις τοῦ θεοῦ ἐν τῷ
λάρυγγι αὐτῶν. καὶ ῥομφαῖ
αι δίστομοι ἐν ταῖς χερσὶν αὐτοῦ
τοῦ ποιῆσαι ἐκδίκησιν ἐν τοῖς
ἔθνεσιν, ἐλεγμοὺς ἐν τοῖς λαοῖς.
τοῦ δῆσαι τοὺς βασιλεῖς αὐ
τῶν ἐν πέδαις. καὶ τοὺς ἐν
δόξους αὐτῶν ἐν χειροπέ
δαις σιδηραῖς.
τοῦ ποιῆσαι ἐν αὐτοῖς κρίμα
ἔγγραπτον. δόξα αὕτη ἔσται
πᾶσι τοῖς ὁσίοις αὐτοῦ.

Ἀλληλούια. ρν.

α ἰνεῖτε τὸν θεὸν ἐν τοῖς
ὁσίοις αὐτοῦ. αἰνεῖτε αὐ
τὸν ἐν στερεώματι δυνάμε
ως αὐτοῦ.
Αἰνεῖτε αὐτὸν ἐπὶ ταῖς δυνα
στείαις αὐτοῦ. αἰνεῖτε αὐ
τὸν κατὰ τὸ πλῆθος τῆς
